ARRIANI ALEXANDRINI

PERIPLUS MARIS ERYTHRAEI.

RECENSUIT

ET

BREVI ANNOTATIONE INSTRUXIT

MDCCCXLIX.

ARRIANI ALEXANDRINI

ERIPLUS MARIS ERYTHRAEI.

RECENSUIT

ET

BREVI ANNOTATIONE INSTRUXIT

B. FABRICIUS.

DRESDAE,

IN COMMISSIS H. M. GOTTSCHALCKI.

MDCCCXLIX.

TRIUMVIRIS TUENDAE SCHOLAE

CRUCIANAE MERITISSIMIS

CHRISTIANO MAURITIO HEYMANNO,

THEOLOGIAE DOCTORI, CONSIL. ECCLESIAST., EPHORO
DRESDENSI, EQUITI ORD. SAX. ETC.,

FREDER. GUILIELMO PFOTENHAUERO,

CONSULI DRESDENSIUM DESIGNATO, SENATORI, JURISCONSULTO,

CHRIST. THEOPHILO EISENSTUCKIO,

SUMMO VECTIGAL. IN REGNO SAXON. PROCURATORI, ORD.
REG. VIRT. CIV. EQUITI,

D. D. D.

B. FABRICIUS.

ΑΡΡΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ[1]) ΠΕΡΙΠΛΟΥΣ ΤΗΣ ΕΡΥΘΡΑΣ[2]) ΘΑΛΑΣΣΗΣ.

Τῶν ἀποδεδειγμένων ὅρμων τῆς Ἐρυθρᾶς θαλάσσης καὶ τῶν περὶ αὐτὴν ἐμπορίων πρῶτός ἐστι λιμὴν τῆς Αἰγύπτου Μυὸς ὅρμος[3]). Μετὰ δὲ αὐτὸν, εἰςπλεόντων ἀπὸ χιλίων ὀκτακοσίων σταδίων, ἐν δεξιᾷ ἡ Βερενίκη[4]). Ἀμφοτέρων οἱ λιμένες ἐν τῷ ἐσχάτῳ τῆς Αἰγύπτου, κόλποι δὲ τῆς Ἐρυθρᾶς θαλάσσης κεῖνται. Τούτων ἐκ μὲν τῶν δεξιῶν ἀπὸ Βερενίκης συναφὴς ἡ Τισηβαρικὴ[5]) χώρα ἐστίν. Τὰ μὲν παρὰ θάλασσαν Ἰχθυοφάγων μάν- Pag. 1 H.

1) Auctor hujus peripli est Arrianus, mercator Alexandrinus, qui regnante Claudio imperatore vixit, quod Vincentus, Anglus, in libro egregio: The periplus of the Erythrean sea (Londini 1800—1805, II voll. 4.) studiose accurateque exposuit ac demonstravit. Hunc nuper Carolus Ritter in libro: Erdkunde, vol. XII, p. 245 sq. rectissime secutus est. Unus exstat hujus peripli codex, olim e bibliotheca Palatina Electorali, quae Heidelbergae erat, in Vaticanum et sub initium hujus saeculi a Francogallis Parisios translatus, quem omni studio ac diligentia cum editis contulit Frid. Jac. Bastius; cfr. ejus Epistolam crit. ad Boissonad. in ling. Lat. versam a Wiedeburgo (Lips. 1809) p. 2 sq., 35 et 42. In fine autem hujus libelli Arrianei librarius manu sua addidit: Διώρθωται οὐ πρὸς σπουδαῖον ἀντίγραφον, excusans hisce verbis errorum in quaque fere pagina copiam. — De mercibus, quarum mentio fit in hoc periplo, conferantur quae G. G. Bredowius, Vincentum l. l. secutus, exposuit vol. II, p. 788—801 libri: Untersuchungen über einzelne gegenstände der alten geschichte, geographie u. chronol. (Altonae 1802). Numeri autem (1. 2. 3. etc.) in margine hujus editionis, addita littera H., paginas editionis Hudsonianae indicant. — Vocem Ἀλεξανδρέως addidi. — 2) De hac voce cfr. Ritteri librum: Erdkunde, vol. XIII, p. 252 sqq.; Forbigeri geograph. antiq. vol. II, p. 5 sq. — 3) Prope hod. Kosseir, vid. Ritt. XII, 122; Forbig. II, 794. — 4) Ruinae in sinu Foul-Bai; Vincent. l. l. I, p. 73. Forbig. l. l. — 5) Stuckius malit: ἡ γῆ Ἀραβική, coll. verbis pag.

||2 H. ὅραις || ᾠκοδομημέναις ἐν στενώμασι[6]) καὶ σποράδην δὲ οἰκοῦνται· τὰ δὲ μεσόγεια βαρβάρων καὶ τῶν μετ' αὐτοὺς Ἀγριοφάγων καὶ Μοσχοφάγων κατὰ τυραννίδα νεμομένων, οἷς ἐπίκειται κατὰ νώτου μεσόγειος ἀπὸ τῶν πρὸς δύσιν μερῶν[7]). Μετὰ δὲ τοὺς Μοσχοφάγους ἐπὶ θαλάσσης μικρὸν ἐμπόριόν ἐστιν, ἀπέχον τῆς τῶν πέρας ἀνακομιδῆς[8]) σταδίους περὶ τετρακισχιλίους, Πτολεμαῒς ἡ τῶν θηρῶν[9]) λεγομένη, ἀφ' ἧς οἱ ἐπὶ Πτολεμαίῳ τῷ βασιλεῖ θηρευθέντες ἐνέβησαν. Ἔχει δὲ τὸ ἐμπόριον χελώνην ἀληθινὴν καὶ χερσαίαν ὀλίγην καὶ λευκὴν μικροτέραν τοῖς ὀστράκοις· εὑρίσκεται δὲ ἐν αὐτῇ ποτὲ μὲν ἐλέφας ὀλίγος, ὅμοιος τῷ Ἀδουλιτικῷ[10]). Ὁ δὲ τόπος ἀλίμενος καὶ σκάφαις μόνον τὴν ἀποδρομὴν[11]) ἔχων.

Μετὰ δὲ τὴν Πτολεμαΐδα τῶν θηρῶν ἀπὸ σταδίων ὡς τρισχιλίων ἐμπόριόν ἐστι νόμιμον ἡ Ἀδούλη[12]), κείμενον ἐν κόλπῳ βαθεῖ κατ' αὐτὸν τὸν νότον, οὗ πρόκειται νῆσος Ὀρεινὴ[13]) λεγομένη, τοῦ μὲν ἐσωτάτου κόλπου, σταδίων δὲ εἰς πέλαγος ὡς διακοσίων, ἐξ[14]) ἀμφοτέρων τῶν μερῶν παρακειμένην ἔχουσα τὴν ἤπειρον, ἐν ᾗ νῦν ὁρμεῖ τὰ καταγόμενα πλοῖα διὰ τὰς ἐκ τῆς γῆς καταδρομάς. Πρῶτον μὲν γὰρ ὥρμει κατ' αὐτὸν τὸν ἐσώτατον κόλπον ἐν τῇ Διοδώρου λεγομένῃ νήσῳ[15]) παρ' αὐτὴν
||3 H. || τὴν ἤπειρον, ἐχούσῃ πεζῇ τὴν διάβασιν, δι' ἧς οἱ κατοικοῦντες βάρβαροι κατέτρεχον τὴν νῆσον. Καὶ κατ' αὐτὴν τὴν ἐν τῇ Ὀρεινῇ ἤπειρον σταδίων[16]) εἴκοσι ἀπὸ τῆς θαλάσσης ἐστὶν ἡ Ἀδούλη[17]), κώμη σύμμετρος, ἀφ' ἧς εἰς μὲν Κολόην[18]) μεσό-

---

11 H. extr. — Cfr. Forbig. II, 808. — 6) οἰκοδ. et στενώμασιν cod. et editt. — 7) Post μερῶν in codice sic: ...σης μικρόν, quare Stuckius voluit: μερῶν, ἀπέχουσα (sc. μεσόγ.) θαλάσσης μικρόν. — 8) ἀπε. τῶν πέρας τῆς ἀνακομιδῆς. Bredowius emend. Ἀνακομ. de importandis mercibus rarius. — 9) Forbig. II, 811. — 10) ἀοιδοτικῷ cod., emendav. Hudson. — 11) ἐπιδρομήν maluit Stuckius. — 12) ἀδουλεί cod. Hod. Azoole ad sinum Annerley, auct. Ritt. I, 239; Arkiko, auct. Vincent. I, 96 sqq. Alia affert. Forbig. II, 810. — 13) Hodie Dalak sive Dahalak; cfr. Vincent. I, 97. Secundum Rueppelium (Itiner. Abyssin. vol. I, §. 10) hod. Desset sive Lord-Valentia, cui accedit Ritt. I, 239. — 14) σταδίους ὡς εἰς πέλαγος ἔχουσα διακοσίους. ἐξ ἀμφ. codex. — 15) hod. Perim, Ritter XII, 666; Forbig. II, 762. — 16) ἀπὸ σταδίων εἴκ. τῆς cod. — 17) ἀδουλεί cod. — 18) Cfr. Ptolem. 4, 7, 25; Mannert. X, 1, 167. In regno hod. Tigré auct. Vincent. I, 97. Aliis

γειον πόλιν καὶ πρῶτον ἐμπόριον τοῦ ἐλέφαντος ὁδός ἐστιν ἡμε-
ρῶν τριῶν. Ἀπὸ δὲ ταύτης εἰς αὐτὴν τὴν μετρόπολιν τὴν
Αὐξούμην[19]) λεγομένην ἄλλων ἡμερῶν πέντε, εἰς ἣν[20]) ὁ πᾶς
ἐλέφας ἀπὸ τοῦ πέραν τοῦ Νείλου φέρεται διὰ τοῦ λεγομένου
Κυηνείου[21]), ἐκεῖθεν δὲ εἰς Ἀδούλην. Τὸ μὲν οὖν ὅλον πλῆ-
θος τῶν φονευομένων ἐλεφάντων ἢ ῥινοκερώτων περὶ τοὺς ἄνω
νέμεται τόπους, σπανίως δέ ποτε καὶ ἐν τῷ παρὰ θάλασσαν περὶ
αὐτὴν τὴν Ἀδούλην θεωροῦνται. Πρόκεινται δὲ τοῦ ἐμπορίου
καὶ κατὰ πέλαγος ἄλλαι νῆσοι μικραὶ ἐκ δεξιῶν ἀμμιναὶ πλεί-
ονες, Ἀλαλαίου[22]) λεγόμεναι, χελώνην ἔχουσαι τὴν εἰς τὸ ἐμ-
πόριον φερομένην ἀπὸ τῶν Ἰχθυοφάγων. Καὶ ἀπὸ σταδίων
ὡςεὶ ὀκτακοσίων κόλπος ἕτερος βαθύτατος, οὗ κατὰ τὴν εἰςβολὴν
ἐν δεξιοῖς ἄμμος ἐστὶ[23]) πολλὴ κεχυμένη, καθ' ἧς ἐν βάθει
κεχωσμένος εὑρίσκεται ὁ ὀψιανὸς λίθος, ἐν ἐκείνῃ μόνῃ τοπικῶς
γεννώμενος. Βασιλεύει δὲ τῶν τόπων τούτων ἀπὸ τῶν Μοσχο-
φάγων μέχρι τῆς ἄλλης Βαρβαρίας Ζωσκάλης, || ἀκριβὴς μὲν || 4 H.
τοῦ βίου καὶ τῶν πλειόνων[24]) ἐξεχόμενος, γενναῖος δὲ περὶ τὰ
λοιπὰ καὶ γραμμάτων Ἑλληνικῶν ἔμπειρος. Προχωρεῖ δὲ εἰς
τοὺς τόπους τούτους ἱμάτια βαρβαρικὰ ἄγναφα τὰ ἐν Αἰγύπτῳ
γινόμενα, Ἀρσινοητικαὶ στολαὶ καὶ ἄβολοι νόθοι χρωμάτινοι καὶ
λέντια καὶ δικρόσσια καὶ λιθίας ὑαλῆς πλείονα γένη καὶ ἄλλης
μοῤῥίνης[25]), τῆς γινομένης ἐν Διοςπόλει, καὶ ὀρείχαλκος, ᾧ
χρῶνται πρὸς κόσμον καὶ εἰς συγκοπὴν ἀντὶ νομίσματος, καὶ
μελίεφθα χαλκᾶ εἴς τε ἕψησιν καὶ εἰς συγκοπὴν ψελλίων καὶ
περισκελίδων τισὶ τῶν γυναικῶν, καὶ σίδηρος ὁ δαπανώμενος
εἴς τε λόγχας πρὸς τοὺς ἐλέφαντας καὶ τὰ ἄλλα θηρία καὶ τοὺς
πολέμους. Ὁμοίως δὲ καὶ πελύκια προχωρεῖ καὶ σκέπαρνα καὶ
μάχαιραι καὶ ποτήρια χαλκᾶ στρογγύλα μεγάλα καὶ δηνάριον
ὀλίγον πρὸς τοὺς ἐπιδημοῦντας καὶ οἶνος Λαοδικηνὸς καὶ Ἰτα-
λικὸς οὐ πολὺς καὶ ἔλαιον οὐ πολύ. Τῷ δὲ βασιλεῖ ἀργυρώ-
ματα καὶ χρυσώματα τοπικῷ ῥυθμῷ κατεσκευασμένα καὶ ἱματίων

---

hod. Dabarna. — 19) ἀξωμίτην λεγόμενον cod. — Hod. Axum, Vincent. I, 97 sq.; Forbig. II, 809. — 20) ὃν cod. — 21) i. e. terra canicularis, hod. terra Siré, Vincent. I, 98. Mox codex iterum bis Ἀδουλεί. — 22) Fortasse Plini (H. Nat. VI, 29, 34 §. 107) Alaeu insulae. Cfr. Vincent. I, 107. — 23) ἐστίν cod. — 24) πλείονος cod., emend. Stuckius. — 25) μυῤῥινῆς cod. Cfr. Schulzi verba in Annalibus insti-

|| 5 H. ἀβόλλαι καὶ καυνάκαι[26]) ἁπλοῖ, οὐ πολλοῦ δὲ ταῦτα. || Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἔσω τόπων τῆς Ἀραβικῆς σίδηρος Ἰνδικὸς καὶ στόμωμα καὶ ὀθόνιον Ἰνδικὸν τὸ πλατύτερον, ἡ λεγομένη μοναχή, καὶ σαγματογῆναι[27]) καὶ περιζώματα καὶ καυνάκαι καὶ μολόχινα καὶ σινδόνες ὀλίγαι καὶ λάκκος[28]) χρωμάτινος. Φέρεται δὲ ἀπὸ τῶν τόπων ἐλέφας καὶ ῥινόκερως. Τὰ δὲ πλεῖστα ἐκ τῆς Αἰγύπτου φέρεται εἰς τὸ ἐμπόριον τοῦτο ἀπὸ μηνὸς Ἰανουαρίου μέχρι τοῦ Σεπτεμβρίου, ὅ ἐστιν ἀπὸ Τυβὶ ἕως Θώθ· εὐκαίρως δὲ ἀπὸ Αἰγύπτου ἀνάγονται περὶ τὸν Σεπτέμβριον μῆνα.

Ἤδη ἐπ' ἀνατολὴν ὁ Ἀραβικὸς κόλπος διατείνει καὶ κατὰ τὸν Αὐαλίτην[29]) μάλιστα στενοῦται. Μετὰ δὲ σταδίους ὡςεὶ τετρακιςχιλίους, κατὰ τὴν αὐτὴν ἤπειρον εἰς ἀνατολὴν πλεόντων, ἐστὶν ἄλλα ἐμπόρια βαρβαρικά, τὰ πέραν[30]) λεγόμενα, κείμενα μὲν κατὰ τὸ ἑξῆς ἀγκυροβολίοις δὲ καὶ σάλοις ἔχοντα τοὺς ὅρμους κατὰ καιροὺς ἐπιτηδείους. Πρῶτος μὲν ὁ λεγόμενος Αὐαλίτης[31]), καθ' ὃν καὶ στενώτατός ἐστιν ἀπὸ τῆς Ἀραβικῆς εἰς τὸ πέραν διάπλους. Κατὰ τοῦτον τὸν τόπον μικρὸν ἐμπόριόν ἐστιν ὁ Αὐαλίτης σχεδίαις καὶ σκάφαις εἰς τὸ αὐτὸ
|| 6 H. προςερχομένων. Προχωρεῖ δὲ || εἰς αὐτὴν ὑαλὴ λιθία σύμμικτος καὶ Διοςπολιτικῆς[32]) ὄμφακος καὶ ἱμάτια βαρβαρικὰ σύμμικτα γεγναμμένα καὶ σῖτος καὶ οἶνος καὶ κασσίτερος ὀλίγος. Φέρεται δ' ἐξ αὐτῆς ποτὲ ὑπὸ[33]) τῶν βαρβάρων ἐπὶ σχεδίαις διαιρόντων[34]) εἰς τὴν ἄντικρυς Ὄκηλιν[35]) καὶ Μούζαν ἀρώματα καὶ ἐλέφας ὀλίγος καὶ χελώνη καὶ σμύρνα ἐλαχίστη, διαφέρουσα δὲ τῆς ἄλλης. Ἀτακτότεροι δὲ οἱ κατοικοῦντες τὸν τόπον βάρβαροι.

---

tuti archaeologici, Vol. XI p. 91 sq. et 99. — 26) γαυνάκαι cod., emend. Stuckius, qui in proximis οὐ πολλαί malit. — 27) σαγματοκῆναι malit Salmas. in exercitat. Plinian. p. 824. — 28) Cfr. Lassenis antiquitates Indicas vol. I, p. 316. — 29) ἀβαλίτην cod. Cfr. Vincent. I, 115; Forbig. II, 85. — 30) τάπαρα pro τὰ πέραν cod. — 31) αὐαλείτης cod. — 32) διοπολιτικῆς cod. — 33) ποτε καὶ τῶν cod. — 34) διαφερόντων cod., emend. Salmas. — 35) κῆλις καὶ μοῦζα cod., Ὄκηλιν emend. Stuck. De Oceli, cujus ruinae ad montem Turbah prope Djebel Heïkah conspiciuntur, cfr. Ritter XII, 243 sq.; 307; 666; 670; Forbig. II, 753 et de Muza, quae hod. Mochha, Ritt. XII, 768 sqq. Alii, ut Forbiger II, 752 et Kuelbius in libro: Länder- und völker-

Μετὰ δὲ τὴν Αὐαλίτην[36]) *ἕτερον ἐμπόριόν ἐστι τούτου διαφέρον ἡ λεγομένη Μαλαὼ*[37]), *πλοῦν ἀπέχουσα σταδίων ὡς ὀκτακοσίων· ὁ δὲ ὅρμος ἐπίσαλος, σκεπόμενος ἀκρωτηρίῳ τῷ ἐξ ἀνατολῆς ἀνατείνοντι· οἱ δὲ κατοικοῦντες εἰρηνικώτεροι. Προχωρεῖ δὲ εἰς τοῦτον τὸν τόπον τὰ προειρημένα καὶ πλείονες χιτῶνες, σάγοι Ἀρσινοητικοὶ γεγναμμένοι καὶ βεβαμμένοι, καὶ ποτήρια καὶ μελίεφθα ὀλίγα καὶ σίδηρος καὶ δηνάριον οὐ πολὺ καὶ χρυσοῦν τε καὶ ἀργυροῦν. Ἐκφέρεται δὲ ἀπὸ τῶν τόπων τούτων καὶ σμύρνα καὶ λίβανος ὁ περατικὸς ὀλίγος καὶ κασσία σκληροτέρα καὶ δούακα καὶ κάγκαμον καὶ μάκειρ, τὰ εἰς Ἀραβίαν προχωροῦντα, καὶ σώματα σπανίως. Ἀπὸ δὲ Μαλαὼ δύο δρόμοις ἐστὶν ἐμπόριον ἡ Μούνδου*[38]), *ἐν ᾧ καὶ || ἀσφαλέστερον ὁρμεῖ* || 7 H. *τὰ πλοῖα εἰς*[39]) *τὴν προκειμένην ἔγγιστα τῆς γῆς νῆσον. Προχωρεῖ δὲ εἰς αὐτὴν τὰ προειρημένα καὶ ἐκεῖθεν ὁμοίως ἐκφέρεται τὰ προειρημένα φορτία καὶ*[40]) *θυμίαμα τὸ λεγόμενον Μοκρότου. Οἱ δὲ κατοικοῦντες ἔμποροι σκληρότεροι. Ἀπὸ δὲ τῆς Μούνδου, πλεόντων εἰς τὴν ἀνατολήν, ὁμοίως μετὰ δύο δρόμους ἢ τρεῖς πλησίον κεῖται τὸ Μόσυλλον*[41]) *ἐν αἰγιαλῷ δυσόρμῳ. Προχωρεῖ δὲ εἰς αὐτὴν τὰ προειρημένα γένη καὶ σκεύη ἀργυρᾶ, σιδηρᾶ δὲ ἐλάσσονα, καὶ λιθία. Ἐξάγεται δὲ ἀπὸ τῶν τόπων κασσίας χρῆμα*[42]) *πλεῖστον — ὃ καὶ μειζόνων πλοίων χρήζει τὸ ἐμπόριον — καὶ ἄλλα εὐόδια καὶ ἀρώματα καὶ χελωνάρια ὀλίγα καὶ Μοκρότου, ἧσσον τοῦ Μουνδιτικοῦ, καὶ λίβανος ὁ περατικός, ἐλέφας δὲ καὶ σμύρνα σπανίως.*

Ἀπὸ δὲ τοῦ Μοσύλλου παραπλεύσαντι[43]) *μετὰ δύο δρόμους τὸ λεγόμενον Νειλοπτολεμαῖον καὶ Ταπατηγὴ καὶ Δαφνῶν*

---

kunde in biographien, vol. I, pag. 245, hod. Mauschid intelligunt. — 36) *αὐαλείτην* et mox *ἐστίν* cod. — 37) Cfr. Ptol. 4, 7, 10; Vincent. I, 118; hodie, auct. Forbig. II, 813, Berbera in terra Somaulorum. — 38) De Mundi emporio, quod auct. Forbig. II, 812 hod. Mete, cfr. praeter Ptolem. 4, 7, 39 Vincent. I, 120. — 39) *διά* maluit Stuckius. — 40) *καί* praetermisit cod. — 41) Ptolem. 4, 7, 10 et Steph. Byz. *Μόσυλον*; Plinius H. N. VI, 29, 34 §. 174 sq. Mossylicum. Cfr. Vincent. I, 121; Forbig. II, 812 sq. — 42) *κασίας χῦμα* cod., Stuckius emendav. In proximis *ὅ* est i. q. *δι' ὅ*. — 43) *παραπλεύσαντα* cod.; Stuckius maluit *παραπλεύσαντι αὐτῷ*. In proximis Niloptol. est Vincentio (I, 126) hod. Mete. (vid. not. 38); pro *Ταπατ.* Mannertus X, 1, 73

ὁ μικρὸς[44]) καὶ ἀκρωτήριον Ἐλέφας[45]). Εἶτα εἰς λίβα ἡ χώρα ποταμὸν[46]) ἔχει τὸν λεγόμενον Ἐλέφαντα καὶ Δαφνῶνα μέγαν καὶ ἐμπόριον λεγόμενον Ἀκάνναι· ἐν ᾗ[47]) μονογενῶς λίβανος ὁ περατικὸς πλεῖστος καὶ διάφορος γίνεται. Καὶ μετὰ ταύτην τῆς γῆς ὑποχωρούσης εἰς τὸν νότον ἤδη, τὸ τῶν Ἀρωμάτων[48])
|| 8. H || ἐμπόριον καὶ ἀκρωτήριον τελευταῖον τῆς Βαρβαρικῆς ἠπείρου πρὸς ἀνατολὴν ἀπόκοπον· ὁ δὲ ὅρμος ἐπίσαλος καὶ[49]) κατὰ καιροὺς ἐπικίνδυνος διὰ τὸ προσεχῆ τὸν τόπον εἶναι τῷ βορέᾳ. Σημεῖον δὲ τοῦ μέλλοντος χειμῶνος τοπικὸν τὸ τὸν βυθὸν θολερώτερον γίνεσθαι καὶ τὴν χρόαν ἀλάσσειν. Τούτου δὲ γενομένου πάντες ἀποφεύγουσιν εἰς τὸ μέγα ἀκρωτήριον, τόπον καὶ σκέπην, τὸ λεγόμενον Τάβαι[50]). Προχωρεῖ δὲ εἰς τὸ ἐμπόριον ὁμοίως τὰ προειρημένα· γίνεται δὲ[51]) ἐν αὐτῷ κασσία καὶ γίζειρ καὶ ἀσύφη καὶ ἄρωμα καὶ μώγλα καὶ μοτὼ καὶ λίβανος. Ἀπὸ δὲ Ταβῶν[52]) μετὰ σταδίους τετρακοσίους παραπλεύσαντι χερσόνησον, καθ' ὃν τόπον καὶ ὁ ῥοῦς ἕλκει, ἕτερόν ἐστιν ἐμπόριον Ὀπώνη[53]), εἰς ἣν καὶ αὐτὴν προχωρεῖ μὲν τὰ προειρημένα, τὸ δὲ πλεῖστον ἐν αὐτῇ γεννᾶται κασσία καὶ ἄρωμα καὶ μοτὼ καὶ δουλικὰ κρείσσονα, ἃ[54]) εἰς Αἴγυπτον προχωρεῖ μᾶλλον, καὶ χελώνη πλείστη καὶ διαφορωτέρα τῆς ἄλλης.

Πλεῖται δὲ εἰς πάντα ταῦτα τὰ πέραν[55]) ἐμπόρια ἀπὸ μὲν Αἰγύπτου περὶ τὸν Ἰούλιον[56]) μῆνα, ὅ ἐστιν Ἐπιφί. Ἐξαρτί-

---

habet *Τακαγή* et de Daphn. confr. Vincent. I, 126 sq. — 44) *δαφνῶνα μικρόν* cod. — 45) Post *Ἐλέφας* in codice verba leguntur: *ἀπὸ Ὀπώνης εἰς νότον προχωρεῖ*, quae jam Vincent. I, 129 et Mannert. X, 1, 74 delenda censuerunt. Elephas promontorium Rittero (XII, 263) est hod. Ras el Fil prope promontorium Gardafui. Cfr. etiam Forbig. II, 803 sq. — 46) *ποταμούς* cod., qui in proximis post *μέγαν* verba *καὶ ἐμπ.* praetermisit. De Acannis conf. Ptol. 4, 7, 10. — 47) Pro *ᾗ* malim *αὐτῇ* sc. *χώρᾳ*. — 48) Cfr. Ptolem. 4, 7, 10; Steph. Byz. s. v.; Marcian. Heracl. p. 11 H. Hodie Cap. Gardafui; vid. Forbig. II, 804. — 49) *καί* praetermisit cod. — 50) Vincent. I, 131 sq. (hod. Daffui Cape); Mannerto X, 1, 89 i. q. *Πανῶν κώμη* Ptolemaei 1, 17, 8 et 4, 7, 11. — 51) *δὲ τὰ ἐν* cod. — Pro *μώγλα* malit Stuckius *μάγμα*. — 52) *τάβαι* cod. — 53) Vincent. I, 135 prope promont. hod. Delgado, Forbigero (II, 813) ad promont. Delagua. — 54) Pro *ἃ* codex *καί*. — 55) *τούπεραν* et mox (p. 9 H. init.) *τούπερα* cod., emend. Stuck. — 56) Idem testatur Plinius H. N. VI, 23, 26, §. 104. In

ζεται δὲ συνήθως καὶ ἀπὸ τῶν ἔσω τόπων τῆς Ἀριακῆς[57]) καὶ
Βαρυγάζων || εἰς τὰ αὐτὰ τὰ πέραν ἐμπόρια γένη προχωροῦντα || 9 H.
ἀπὸ τῶν τόπων, σῖτος καὶ ὄρυζα καὶ βούτυρον καὶ ἔλαιον[58])
σησάμινον καὶ ὀθόνιον, ἥ τε μοναχὴ καὶ ἡ σαγματογήνη, καὶ
περιζώματα καὶ μέλι τὸ καλάμινον τὸ λεγόμενον σάκχαρι[59]).
Καὶ οἱ μὲν προηγουμένως εἰς ταῦτα τὰ ἐμπόρια πλέουσι, οἱ δὲ
κατὰ τὸν παράπλουν ἀντιφορτίζονται τὰ ἐμπεσόντα. Οὐ βασι-
λεύεται δὲ ὁ τόπος, ἀλλὰ τυράννοις ἰδίοις καθ' ἕκαστον ἐμπό-
ριον διοικεῖται.

Ἀπὸ δὲ Ὀπώνης, τῆς ἀκτῆς εἰς τὸν νότον ὑποχωρούσης
ἐπὶ πλεῖον, πρῶτα μέν ἐστι τὰ λεγόμενα μικρὰ Ἀπόκοπα[60]) καὶ
μεγάλα τῆς Ἀζανίας διὰ ἀγκυροβολίων, ποταμὸς δὲ ἐπὶ δρό-
μους ἓξ παρ' αὐτὸν ἤδη τὸν λίβα· εἶτα αἰγιαλὸς καὶ μικρὸς καὶ
μέγας ἐπ' ἄλλους δρόμους ἓξ καὶ μετ' αὐτὸν κατὰ τὸ ἑξῆς οἱ
τῆς Ἀζανίας δρόμοι[61]), πρῶτον μὲν ὁ λεγόμενος Σεραπίωνος
εἶθ' ὁ Νίκωνος, μεθ' ὃν ποταμοὶ πλείονες καὶ ἄλλοι συνεχεῖς
ὅρμοι, διῃρημένοι κατὰ σταθμοὺς καὶ δρόμους ἡμερησίους
πλείονας, τοὺς πάντας ἑπτά, μέχρι Πυριλάων[62]) νήσων καὶ
τῆς[63]) λεγομένης διώρυχος, ἀφ' ἧς μικρὸν ἐπάνω τοῦ λιβὸς
μετὰ δύο δρόμους νυχθημέρους παρ' αὐτὴν τὴν δύσιν ἐκτεινο-
μένη ἡ Μενουθιὰς[64]) ἀπαντᾷ νῆσος σταδίων || ἀπὸ τῆς γῆς || 10 H.
ὡσεὶ τριακοσίων, ταπεινὴ καὶ κατάδενδρος, ἐν ᾗ καὶ ποταμοὶ
καὶ ὀρνέων γένη πλεῖστα καὶ χελώνη ὀρεινή. Θηρίων δὲ οὐδὲν

---

proximis ἐξαρτίζ. est i. q. εἰςκομίζεται. — 57) Ejus mentio etiam infra p. 24 et 30 H., praeterea in Ptolem. 7, 1, 6 et 82; confer. Forbig. II, 505 et de Barygazis, quae Straboni XVI, p. 720 male Βαργόση et hod. Baroach (sive Baroche), cfr. Ritt. V, 476; 489; VI, 626; XII, 315 et 334; XIV, 393 sq.; Lassenis Antiq. Indic. I, 107; Forbig. II, 506. — 58) Vid. p. 18; 20; 24 H. et Lassen. l. l. I, p. 248 sq. — 59) Lassen. l. l. p. 273: „also der wirkliche rohrzucker." Vid. etiam Ritter V, 439. — 60) Ptolem. 4, 7, 11; Marcian. Heracl. p. 12 Huds.; Steph. Byz. s. v.; Forbiger. II, 813; Vincent. I, 135 et 146 sq. Fortasse hod. Bandel d'Agoa et Cap Beduin. De Azania, quae ora hod. Ajan vocatur, cfr. Mannert. X, 1, 81; Forbig. II, 813 et Vincent. I, 136 et 139. — 61) Cfr. Marcian. Heracl. p. 12 H.; Vincent. I, 150 sq. — 62) Πυραλάων Stuck., Huds., Vincent.; Παραλάων Mannert. X, 1, 93, qui insulas ad promont. h. Formosa dictum intelligit. — 63) καινῆς pro καὶ τῆς cod. — 64) εἰτενηδιωμμενουθεσίας pro ἐκτειν. ἡ Μεν. codex. Emendationem nostram, ut nuperrime vidi, occupavit

ὅλως ἔχει πλὴν κροκοδείλων· οὐδένα δὲ ἀνθρώπων ἀδικοῦσιν. Ἔστι δὲ ἐν αὐτῇ πλοάρια ῥαπτὰ καὶ μονόξυλα, οἷς χρῶνται πρὸς ἁλίαν καὶ ἄγραν χελώνης. Ἐν δὲ ταύτῃ τῇ νήσῳ καὶ γυργάθοις αὐτὰς ἰδίως λινεύουσιν, ἀντὶ δικτύων καθιέντες αὐτοὺς περὶ τὰ στόματα τῶν προράχων. Ἀφ' ἧς μετὰ δύο δρόμους τῆς ἠπείρου τὸ τελευταιότατον τῆς Ἀζανίας ἐμπόριον κεῖται, τὰ Ῥάπτα [65]) λεγόμενα, ταύτην ἔχον τὴν προςωνυμίαν ἀπὸ τῶν προειρημένων ῥαπτῶν πλοαρίων, ἐν ᾧ πλεῖστός ἐστιν ἐλέφας καὶ χελώνη. Μέγιστοι δὲ σώμασι [66]) περὶ ταύτην τὴν χώραν ἄνθρωποι ὁρατοὶ κατοικοῦσι καὶ κατὰ τὸν τόπον ἕκαστον ὁμοίως τιθέμενοι τυράννους. Νέμεται δὲ αὐτήν, κατά τι δίκαιον ἀρχαῖον ὑποπίπτουσαν τῇ βασιλείᾳ τῆς πρώτης λεγομένης Ἀραβίας, ὁ Μαφαρείτης [67]) τύραννος. Παρὰ δὲ τοῦ βασιλέως ὑπόφορον αὐτὴν ἔχουσιν οἱ ἀπὸ Μούζης καὶ πέμπουσιν εἰς αὐτὴν ἐφόλκια τὰ πλείονα κυβερνήταις καὶ χρειακοῖς Ἄραψι, χρώμενοι τοῖς καὶ συνήθειαν καὶ ἐπιγαμβρίαν ἔχουσιν ἐμπείροις τε οὖσι τῶν τόπων καὶ τῆς φωνῆς αὐτῶν. Εἰςφέρεται δὲ εἰς τὰ ἐμπόρια ταῦτα προηγουμένως ἡ τοπικῶς ἐν Μούζῃ κατασκευαζομένη
|| 11 H. λόγχη καὶ πελύκια καὶ μαχαίρια καὶ ὀπήτια || καὶ λιθίας ὑαλῆς πλείονα γένη, εἰς δέ τινας τόπους οἶνός τε καὶ σῖτος οὐκ ὀλίγος, οὐ πρὸς ἐργασίαν ἀλλὰ δαπάνης χάριν εἰς φιλανθρωπίαν τῶν βαρβάρων. Ἐκφέρεται δὲ ἀπὸ τούτων τῶν τόπων ἐλέφας πλεῖστος — ἥσσων δὲ τοῦ Ἀδουλιτικοῦ — καὶ ῥινόκερως καὶ χελώνη [68]) διάφορος μετὰ τὴν Ἰνδικὴν καὶ ναύπλιος ὀλίγος. Καὶ σχεδὸν τελευταιότατά ἐστι ταῦτα τὰ ἐμπόρια τῆς Ἀζανίας τῆς ἐν δεξιοῖς ἀπὸ Βερενίκης ἠπείρου· ὁ γὰρ μετὰ τούτους τοὺς τόπους ὠκεανὸς ἀνερεύνητος ὢν εἰς τὴν δύσιν ἀνακάμπτει καὶ τοῖς ἀπεστραμ-

---

jam Theod. Hasaeus in bibl. histor. philol. class. VI, fasc. 1 (Bremae 1722) p. 189 sqq. Aliorum emendationes collegit (Vincentum secutus) Bredowius l. l. sub finem voluminis II. Menuthiadem insulam alii hod. Pemba, alii Zanzibar, alii Monfia, alii Madagascar esse censent; cfr. Vincent. l. l. I, p. 136; 158 sq.; Appendic. p. 67 sqq.; Forbig. II, 892. — In proximis codex *ἀπὸ σταδίων* et paullo inferius *ἔστιν δὲ ἐν αὐτῇ*. — 65) Cfr. Vincent. I, 136; 154; 163; Forbig. II, 813 et 805; Sickleri geogr. antiq. ed. secundae p. 659 Vol. II. Praeterea ad verba *ῥαπτ. πλοαρ.* cfr. Ritter XII, 178. — 66) *σώμασιν* et in proximis *κατοικοῦσιν* cod. — 67) *γινομένης Ἀρ.* et *μοφαρείτης* et in proximis *μούζα* pro *Μούζης*, *ἄραψιν* pro *Ἄραψι*, *κατὰ συνήθειαν* pro *καὶ συνήθ.*, *οὖσιν τῶν* pro *οὖσι τ.* et denique *τοπικῶς ἐν μούζᾳ* codex. — 68) Cfr.

μένοις μέρεσι [69]) τῆς Αἰθιοπίας καὶ Λιβύης καὶ Ἀφρικῆς κατὰ τὸν νότον παρεκτείνων εἰς τὴν ἑσπέριον συμμίσγει θάλασσαν.

Ἐκ δὲ τῶν εὐωνύμων [70]) Βερενίκης ἀπὸ Μυὸς ὅρμου δυσὶ δρόμοις ἢ τρισὶν εἰς τὴν ἀνατολὴν διαπλεύσαντι τὸν παρακείμενον κόλπον ὅρμος ἐστὶν ἕτερος καὶ φρούριον, ὃ λέγεται Λευκὴ κώμη [71]), δι' ἧς ὁδός ἐστιν εἰς Πέτραν πρὸς Μαλίχαν, βασιλέα Ναβαταίων. Ἔχει δὲ ἐμπορίου τινὰ καὶ αὐτὴ [72]) τάξιν τοῖς ἀπὸ τῆς Ἀραβίας ἐξαρτιζομένοις εἰς αὐτὴν πλοίοις οὐ μεγάλοις. Διὸ καὶ εἰς αὐτὴν καὶ παραλήπτης [73]) τῆς τετάρτης τῶν εἰςφερομένων φορτίων καὶ παραφυλακῆς χάριν ἑκατοντάρχης μετὰ στρατεύματος ἀποστέλλεται. Μετὰ δὲ ταύτην εὐθέως ἐστὶ συναφὴς Ἀραβικὴ χώρα, κατὰ μῆκος ἐπὶ πολὺ παρατείνουσα τῇ Ἐρυθρᾷ θαλάσσῃ. || Διάφορα δὲ ἐν αὐτῇ ἔθνη κατοικεῖται, || 12H.
τινὰ μὲν ἐπὶ ποσόν τινα δὲ καὶ τελείως τῇ γλώσσῃ διαλάσσοντα [74]). Τούτων τὰ παρὰ θάλασσαν ὁμοίως Ἰχθυοφάγων μάνδραις διείληπται, τὰ δὲ ἐπάνω κατὰ κώμας καὶ νομαδίας οἰκεῖται πονηροῖς ἀνθρώποις διφώνοις, οἷς παραπίπτοντες ἀπὸ τοῦ μέσου πλόου οἱ μὲν διαρπάζονται οἱ δὲ καὶ ἀπὸ ναυαγίων σωθέντες ἀνδραποδίζονται· διὸ καὶ συνεχῶς ἀπὸ τῶν τυράννων καὶ βασιλέων τῆς Ἀραβίας αἰχμαλωτίζονται· λέγονται δὲ Κασσανῖται [75]). Καθόλου μὲν οὖν οὗτος ὁ τῆς Ἀραβικῆς χώρας ἠπείρου παράπλους ἐστὶν ἐπισφαλής, καὶ ἀλίμενος ἡ χώρα καὶ δύςορμος καὶ ἀκάθαρτος, ῥαχίαις καὶ σπίλοις ἀπρόςιτος καὶ κατὰ πάντα φοβερά. Διὸ καὶ εἰςπλεόντων μέσον πλοῦν κατέχομεν καὶ εἰς τὴν Ἀραβικὴν χώραν μᾶλλον παροξύνομεν [76]) ἄχρι τῆς

Ritter XII, 177. Paullo ante cod. ἀπὸ τῶν τοπ. et ἧσσον. — 69) μέρεσιν cod. — 70) h. e. ad septentriones versus, Ritter XII, 122; mox codex δυσίν. — 71) Ita etiam Straboni XVI, 780, sed Stephano Byz. Αὔαρα vocatur; hodie Hauara; Ritter XII, 121 sqq.; 126 sq. In proximis codex ὁδός praetermisit. De Petra cfr. Ritter XII, 115 sqq.; XIV, 1103—1141; de Malicha eundem XII, 126 et Salmas. Exercit. Plin. p. 892 edit. 1689; de Nabataeis Ritter XII, 115 sqq. — 72) αὐτό cod. — 73) διὸ καὶ παραφυλακῆς χάριν εἰς αὐτὴν παραλήπτης τ. τ. τ. εἰς. φ. καὶ ἑκα. μετὰ στρ. codex. Idem in proximis ἐστὶν συναφής. — 74) Haud bene Bohlen in India antiq. vol. II, p. 138; rectius Ritter XII, 45. De Ichthyophagis cfr. Ritter XIII, 307. — 75) κανραεῖται cod., quod Ritter XII, 176 retinet, qui l. l. cum hisce Arrianeis conf. Agatharch. p. 32 H. et Diod. III, 15—18. — 76) Haec dicendi ratio hoc uno loco

κατακεκαυμένης νήσου [77]), μεθ' ἣν εὐθέως ἡμέρων ἀνθρώπων καὶ νομαδιαίων θρεμμάτων καὶ καμήλων συνεχεῖς χῶραι [78]). Καὶ μετὰ ταύτας ἐν κόλπῳ τῷ τελευταιοτάτῳ τῶν εὐωνύμων τούτου τοῦ πελάγους ἐμπόριόν ἐστι νόμιμον παραθαλάσσιον Μούζα, σταδίους ἀπέχον τοὺς πάντας, ἀπὸ Βερενίκης παρ' αὐτὸν τὸν νότον πλεόντων, ὡς εἰς μυρίους διςχιλίους. Τὸ μὲν ὅλον Ἀράβων, ναυκληρικῶν ἀνθρώπων καὶ ναυτικῶν πλεονάζει [79]) καὶ

|| 13 H. τοῖς ἀπ' || ἐμπορίας πράγμασι κινεῖται· συγχρῶνται γὰρ τῇ τοῦ πέραν ἐργασίᾳ καὶ Βαρυγάζων ἰδίοις ἐξαρτισμοῖς. Ὑπέρκειται δὲ αὐτῆς ἀπὸ τριῶν ἡμερῶν πόλις Σαύη [80]), τῆς περὶ αὐτὴν Μαφαρίτιδος λεγομένης χώρας· ἔστι δὲ τύραννος καὶ κατοικῶν αὐτὴν Χόλαιβος. Καὶ μετ' ἄλλας ἐννέα ἡμέρας Σαφὰρ [81]) μητρόπολις, ἐν ᾗ Χαριβαὴλ, ἔνθεσμος βασιλεὺς ἐθνῶν δύο τοῦ τε Ὁμηρίτου καὶ τοῦ παρακειμένου λεγομένου Σαβαείτου [82]), συνεχέσι πρεσβείαις καὶ δώροις φίλος τῶν αὐτοκρατόρων. Τὸ δὲ ἐμπόριον ἡ Μούζα ἀλίμενον μὲν εὔσαλον δὲ καὶ εὔορμον διὰ τὰ περὶ αὐτὴν ἀμμόγεια ἀγκυροβόλια. Φορτία δὲ εἰς αὐτὴν προχωρεῖ πορφύρα διάφορος καὶ χυδαία καὶ ἱματισμὸς Ἀραβικὸς χειριδωτὸς, ὅ τε ἁπλοῦς καὶ ὁ κοινὸς καὶ σκοτουλάτος καὶ διάχρυσος, καὶ κρόκος καὶ κύπειρος [83]) καὶ ὀθόνιον καὶ ἀβόλλαι καὶ λώδικες οὐ πολλαὶ, ἁπλοῖ τε καὶ ἐντόπιοι, ζῶναι σκιωταὶ καὶ μύρον μέτριον καὶ χρῆμα ἱκανόν, οἶνός τε καὶ σῖτος οὐ πολύς. Φέρει [84]) γὰρ καὶ ἡ χώρα πυρὸν μετρίως καὶ οἶνον πλείονα. Τῷ δὲ βασιλεῖ καὶ τῷ τυράννῳ δίδονται ἵπποι τε καὶ

---

invenitur pro *εἰςπλέοντες* — *κατέχουσι καὶ* — *παροξύνουσι*. — 77) Ptolem. 6, 7, 44. Hod. Dschebel-Tar, cfr. Ritter XII, 671 sq. — 78) *χῶραι* praetermisit codex, Stuckius addidit. In proximis codex *ἔστιν νόμιμον*. — 79) *πλεονάζον δὲ καὶ* — *πράγματα κ.* codex. — 80) Salmas. Exercit. Plin. p. 348 malit *Σαύα*, Vincentus l. l. I, 155: *Σάνη*. Fortasse hod. Taaes ad montem Sabber; cfr. Ritter XII, 770 coll. 781. De Mapharitide (*μαφαρτίδος* codex, quod Salmas. emend.) confr. eund. XII, 243 et 770 et de Cholaebo (Arabum Chaleb) p. 770. In proximis codex *ἔστιν δέ*. — 81) *ἀφάρ* cod., emend. Stuck. De hac urbe praeter Ptolem. 6, 7, 41; Plin. VI, 23, 26, §. 104; Philostorch. hist. ecclesiast. III, 4 (*Τάφαρον*) vid. Ritt. XII, 252; 770; XIV, 372. De Charibaele cfr. eund. XII, 246. Homeritae sunt Arabum Himjaritae. — 82) *Σαβαΐτου* maluit Salmas. l. l. p. 349. Uranius apud Steph. Byz. s. v. *Χατραμωτῖτις* etiam utrumque populum conjungit. — 83) *κύπερος* cod. — 84) *φέρεται* cod. — 85) *τοῦ π. ἀδουλεί* cod.

ἡμίονοι νωτηγοὶ καὶ χρυσώματα καὶ τορευτὰ ἀργυρώματα καὶ ἱματισμὸς πολυτελὴς καὶ χαλκουργήματα. Ἐξάγεται δὲ ἐξ αὐτῆς, ἐντόπια μέν, σμύρνα ἐκλεκτὴ καὶ || στακτὴ ἀβειρμιναία, λύγδος || 14 H.
καὶ τὰ ἀπὸ τῆς πέραν Ἀδούλης [85]) προειρημένα φορτία πάντα. Πλεῖται δὲ εἰς αὐτὴν εὐκαίρως περὶ τὸν Σεπτέμβριον μῆνα, ὅς ἐστι Θώθ· οὐδὲν δὲ κωλύει κἂν τάχιον.

Μετὰ δὲ ταύτην ὡςεὶ τριακοσίους παραπλεύσαντες σταδίους, ἤδη συνερχομένης τε τῆς Ἀραβικῆς ἠπείρου καὶ τῆς πέραν κατὰ τὸν Αὐαλίτην Βαρβαρικῆς χώρας, αὐλών ἐστιν οὐ μακρός, ὁ συνάγων καὶ εἰς στενὸν [86]) ἀποκλείων τὸ πέλαγος, οὗ τὸν μεταξὺ πόρον ἑξήκοντα σταδίων μεσολαβεῖ νῆσος ἡ Διοδώρου, διὸ καὶ ῥοώδης, καταπνεόμενος ἀπὸ τῶν παρακειμένων ὀρῶν, ἐστὶν ὁ κατ' αὐτὴν διάπλους. Κατὰ τοῦτον τὸν ἰσθμὸν παραθαλάσσιός ἐστιν Ἀράβων κώμη τῆς αὐτῆς τυραννίδος Ὄκηλις, οὐχ οὕτως ἐμπόριον ὡς ὅρμος καὶ ὕδρευμα καὶ πρώτη καταγωγὴ τοῖς ἔσω διαίρουσιν. Μετὰ δὲ Ὄκηλιν, ἀνοιγομένης πάλιν τῆς θαλάσσης εἰς ἀνατολὴν καὶ κατὰ μικρὸν εἰς πέλαγος ἀποφαινομένης, ἀπὸ σταδίων ὡς χιλίων διακοσίων ἐστὶν Εὐδαίμων Ἀραβία [87]), κώμη παραθαλάσσιος, βασιλείας τῆς αὐτῆς Χαριβαῆλος [88]), ὅρμους μὲν ἐπιτηδείους καὶ ὑδρεύματα γλυκύτερα καὶ κρείσσονα τῆς Ὀκήλεως ἔχουσα, ἤδη δὲ ἐν ἀρχῇ κόλπου κειμένη τῷ τὴν χώραν ὑποφεύγειν [89]). Εὐδαίμων δ' ἐπεκλήθη, πρότερον οὖσα πόλις, ὅτε, μήπω ἀπὸ || τῆς Ἰνδικῆς εἰς τὴν Αἴ- || 15 H.
γυπτον ἐρχομένων μηδ' ἀπ' Αἰγύπτου τολμώντων εἰς τοὺς ἔσω τόπους διαίρειν ἀλλ' ἄχρι ταύτης παραγινομένων, τοὺς παρ' ἀμφοτέρων φόρτους ἀπεδέχετο, ὥςπερ Ἀλεξάνδρεια καὶ τῶν ἔξωθεν καὶ τῶν ἀπὸ τῆς Αἰγύπτου φερομένων ἀποδέχεται. Νῦν δὲ οὐ πρὸ πολλοῦ τῶν ἡμετέρων χρόνων καῖσαρ [90]) αὐτὴν κατεστρέψατο.

Ἀπὸ δὲ τῆς Εὐδαίμονος Ἀραβικῆς ἐκδέχεται συναφὴς αἰγιαλὸς ἐπιμήκης καὶ κόλπος ἐπὶ διςχιλίους ἢ πλείονας παρήκων

— 86) Hod. Bab el Mandeb, Ritt. XII, 664 sqq. — 87) Hod. Aden; cfr. Ritter XII, 241 sqq.; Kuelb. l. l. I, 245; Forbig. II, 754 sq. et 920. — 88) Θαριβαήλτος et in proximis γλυκυτέρα κρεῖσσον, quod posterius Hudson emend. — 89) Haec corrupta judico, sed emendandi rationem inveni nullam. In proximis codex μηδὲ ἀπὸ Αἰγ. et παρὰ ἀμφοτέρ. — 90) Claudius imperator, cfr. Vincent. l. l. vol. II, p. 52

σταδίους, Νομάδων τε καὶ Ἰχθυοφάγων κώμαις παροικουμέναις, οὗ μετὰ τὴν προέχουσαν ἄκραν ἐμπόριόν ἐστιν ἕτερον παραθαλάσσιον Κανή[91]*, βασιλείας Ἐλεάζου, χώρας λιβανωτοφόρου, καὶ κατ' αὐτὴν ἔρημοι νῆσοι δύο, μία μὲν ἡ τῶν Ὀρνέων*[92] *ἡ δ' ἑτέρα λεγομένη Τρούλλας, σταδίων ἑκατὸν εἴκοσι ἀπὸ τῆς Κανῆς. Ὑπέρκειται δὲ αὐτῆς μεσόγειος ἡ μητρόπολις Σάββαθα*[93]*, ἐν ᾗ καὶ ὁ βασιλεὺς κατοικεῖ. Πᾶς δὲ ὁ γεννώμενος ἐν τῇ χώρᾳ λίβανος εἰς αὐτὴν ὥςπερ ἐκδοχεῖον εἰςάγεται καμήλοις τε καὶ σχεδίαις ἐντοπίαις*[94] *δερματίναις ἐξ ἀσκῶν καὶ πλοίοις. Ἔχει δὲ καὶ αὐτὴ σύγχρησιν τῶν πέραν ἐμπορίων, Βαρυγάζων καὶ Σκυθίας καὶ Ὀμάνων*[95] *καὶ τῆς παρακειμένης Περσίδος. Εἰςάγεται δὲ εἰς αὐτὴν ἀπ' Αἰγύπτου μὲν ὁμοίως πυρὸς ὀλίγος*
|| 16 H. *|| καὶ οἶνος ὥςπερ καὶ εἰς Μούζαν, ἱματισμὸς Ἀραβικὸς, ὁμοίως καὶ κοινὸς καὶ ἁπλοῦς καὶ ὁ νόθος περισσότερος, καὶ χαλκὸς καὶ κασσίτερος*[96] *καὶ κοράλλιον καὶ στύραξ καὶ τὰ λοιπὰ ὅσα εἰς Μούζαν. Τὰ πλείονα δὲ ἀργυρώματα τετορευμένα καὶ χρήματα τῷ βασιλεῖ, ἵπποι δὲ καὶ ἀνδριάντες καὶ ἱματισμὸς διάφορος καὶ*[97] *ἁπλοῦς. Ἐξάγεται δὲ ἐξ αὐτῆς ἐντόπια μὲν φορτία, λίβανος καὶ ἀλόη, τὰ δὲ λοιπὰ κατὰ μετοχὴν τῶν ἄλλων ἐμπορίων. Πλεῖται δὲ εἰς αὐτὴν περὶ τὸν αὐτὸν καιρὸν, ὃν καὶ εἰς Μούζαν, πρωϊμώτερον δέ.*

Μετὰ δὲ Κανὴν, τῆς γῆς ἐπὶ πλεῖον[98] *ὑποχωρούσης, ἄλλος ἐκδέχεται βαθύτατος κόλπος, ἐπὶ πολὺ παρεκτείνων, ὁ λεγόμενος Σαχαλίτης, καὶ χώρα λιβανωτοφόρος, ὀρεινή τε καὶ δύςβατος, ἀέρα παχὺν ἔχουσα καὶ ὁμιχλώδη, κατὰ τῶν δένδρων φερόμενον τὸν λίβανον. Ἔστι δὲ τὰ δένδρα τὰ λιβανοφόρα οὐ*

---

et Ritt. XII, 746. — 91) Hod. Bender Hisn Ghorab; cfr. Ritt. XII, 314; 316; 322; 329; 332. Eleazus est Strabonis (XVI, 782) *Ἰλάσαρος* et Ptolemaei (VI, 7, 7) *Ἐλίσαρος*, cfr. Ritt. XII, 244 et 277. — 92) Hod. Sikkah sive Djibus; Ritter XII, 315. Trullas vero ins. hod. Halani; cfr. eund. l. l. In proximis codex *ἀπὸ σταδίων ἑκ. εἴκ. τῆς Καν.* — 93) Ruinae prope vicum hod. Esàn, Ritt. XII, 329. Rex autem est Eleazus; vid. Salmas. Ex. Plin. p. 354. — 94) Cfr. Agatharch. p. 64 Huds.; Ptolem. VI, 7; Ritt. XII, 353. — 95) Intelligenda sunt ea Omana, quorum infra p. 20 H. mentio, in Gedrosiae littore. Mox codex bis *Μούζα*. — 96) Cfr. Ritt. V, 438. — 97) *καί* deest in cod., qui paullo post *Κανή* habet. — 98) Ritt. XII, 333. De voce *Σαχαλ.* cfr. eund. XII, 309. In proximis codex *ὀρεινὴ δέ*, quod Sal-

μεγάλα λίαν οὐδὲ ὑψηλά, φέρει δὲ ἐπὶ τῷ φλοιῷ πησσόμενον τὸν λίβανον, ὥς τινα καὶ τῶν παρ' ἡμῖν ἐν Αἰγύπτῳ δένδρων δακρύει τὸ κόμμι. Μεταχειρίζεται δὲ ὁ λίβανος ὑπὸ δούλων βασιλικῶν καὶ τῶν ἐπὶ τιμωρίᾳ πεμπομένων. Ἐπίνοσοι δὲ δεινῶς οἱ τόποι καὶ τοῖς μὲν παραπλέουσι λοιμικοὶ τοῖς δὲ ἐργαζομένοις πάντοτε θανατώδεις ἔτι δὲ καὶ διὰ τὴν ἔνδειαν τῆς τροφῆς εὐχερῶς ἀπολλύμενοι[99]).

Τούτου[100]) *δ' ἐστὶν ἀκρωτήριον* || *τοῦ κόσμου μέγιστον,* || 17 H.
ἀποβλέπον εἰς ἀνατολὴν[1]), *ὁ καλούμενος Σύαγρος, ἐφ' οὗ φρούριόν ἐστι τῆς χώρας καὶ λιμὴν καὶ ἀποθήκη τοῦ συναγομένου λιβάνου*[2])· *καὶ κατὰ τοῦτον ἐν τῷ πελάγει νῆσος, ἀνὰ μέσον τούτου καὶ τοῦ πέραν ἀκρωτηρίου τῶν Ἀρωμάτων, τῷ Συάγρῳ συνορίζουσα μᾶλλον*[3]), *ἡ Διοσκορίδου καλουμένη, μεγίστη μὲν ἔρημος δὲ καὶ κάθυγρος, ἔχουσα ποταμοὺς ἐν αὐτῇ*[4]) *καὶ κροκοδείλους καὶ ἐχίδνας πλείστας καὶ σαύρας ὑπερμεγέθεις, ὧν τὸ κρέας ἐσθίουσι τὸ δὲ λίπος τήκουσι καὶ ἀντ' ἐλαίου χρῶνται· καρπὸν δὲ οὔτε ἀμπέλου οὔτε σίτου*[5]) *ἡ νῆσος φέρει. Οἱ δ' ἐνοικοῦντες αὐτὴν ὀλίγοι κατὰ μίαν πλευρὰν τῆς νήσου τὴν πρὸς ἀπαρκτίαν οἰκοῦσι, καθ' ὃ*[6]) *μέρος ἀποβλέπει τὴν ἤπειρον· εἰσὶ δὲ ἐπίξενοι καὶ ἐπίμικτοι Ἀράβων τε καὶ Ἰνδῶν καὶ ἔτι Ἑλλήνων τῶν πρὸς ἐργασίαν ἐκπλεόντων. Φέρει δὲ ἡ νῆσος χελώνην τήν τε ἀληθινὴν καὶ χερσαίαν καὶ τὴν λευκήν, πλείστην δὲ καὶ διάφορον καὶ τοῖς ὀστράκοις μείζοσι τήν τε ὀρεινὴν ὑπερμεγέθη καὶ παχύτατον ὄστρακον ἔχουσαν, οὗ τὰ παρὰ τὴν κοιλίαν μέρη τὰ ἐγχρήζοντα τομὴν οὐκ ἐπιδέχεται*[7]), *καὶ πυῤῥότερα ὄντα· ὁλοτελῶς δὲ τὰ εἰς γλωσσόκομα* || *καὶ πινακίδια καὶ μαγίδια ἐγχρήζοντα καὶ τοιαύτην* || 18 H.

---

mas. emend. — 99) Cfr. Ritt. XII, 334. — 100) *τοῦτο* cod., Salmas. l. l. p. 350 emend. *Τούτου* est *τοῦ Σαχαλίτου κόλπου.* Verba *τοῦ κόσμου* recte se habent; cfr. Ritt. XII, 308. — 1) Idem Ptolem. VI, 7 1. Promontorium Syagr. est hod. Cap Saugra; Ritt. XII, 335. — 2) Salmas. l. l. p. 361 intelligit thus ex India allatum. In proximis *τοῦ πέραν* significat: ad meridiem versus. 3) Male, nam revera Aromatum promontorio propior. Mox codex *διοσκορίδα.* Hodie Socotora; cfr. Ritt. V, 443, 603 sq.; XII, 64 et 336. — 4) *αὐτῇ* cod. — 5) *οὔτε ἄμπελον οὔτε σιτικόν* codex, emend. Stuck. — 6) *καθό* cod., emend. Huds.; mox cod. *εἰσὶν δὲ ἐπ.* — 7) Haec verba vitio

τινὰ χρῆσιν [8]) κατατέμνεται. Γίνεται δὲ ἐν αὐτῇ καὶ κιννάβαρι τὸ λεγόμενον Ἰνδικὸν, ἀπὸ τῶν δένδρων ὡς δάκρυ συναγόμενον. Ὑποπίπτει μὲν οὖν, ὥςπερ ἡ Ἀζανία Χαριβαῆλι [9]) καὶ τῷ Μαφαρείτῃ τυράννῳ, καὶ ἡ νῆσος αὐτῷ τῷ βασιλεῖ τῆς λιβανωτοφόρου. Συνεχρήσαντο δὲ αὐτῇ καὶ ἀπὸ Μούζης τινὲς καὶ τῶν ἐκπλεόντων διὰ Λιμυρικῆς καὶ Βαρυγάζων ὅσοι κατὰ τύχην εἰς αὐτὴν [10]) ἐπιβάλλοντες ὄρυζάν τε καὶ σῖτον καὶ ὀθόνην Ἰνδικὴν ἀντικαταλλασσόμενοι καὶ σώματα θηλυκὰ διὰ σπάνιν ἐκεῖ προχωροῦντα χελώνην ἀντεφορτίζοντο πλείστην· νῦν δὲ ὑπὸ τῶν βασιλέων ἡ νῆσος ἐκμεμίσθωται καὶ παραφυλάσσεται.

Μετὰ [11]) δὲ τὸν Σύαγρον κόλπος ἐστὶ συναφὴς, ἐπὶ βάθος ἐνδύνων εἰς τὴν ἤπειρον, Ὄμανα, σταδίους ἔχων ἑξακοσίους τὸ διαπέραμα, καὶ μετ' αὐτὸν ὑψηλὰ ὄρη πετρώδη καὶ ἀπόκοπα, ἀνθρώπων ἐν σπηλαίοις κατοικούντων, ἐπὶ σταδίους ἄλλους πεντακοσίους, καὶ μετ' αὐτοὺς ὅρμος ἀποδεδειγμένος τοῦ Σαχαλίτου λιβάνου πρὸς ἐμβολὴν, Μόσχα [12]) λιμὴν λεγόμενος, εἰς ὃν ἀπὸ Κανῆς συνήθως πλοῖα πέμπεταί τινα καὶ παραπλέοντα ἀπὸ Λιμυρικῆς ἢ Βαρυγάζων, ὀψινοῖς καιροῖς [13]) παραχειμάσαντα, παρὰ τῶν βασιλικῶν πρὸς ὀθόνιον καὶ σῖτον καὶ ἔλαιον λίβανον || 19 H. || ἀντιφορτίζουσι παρ' ὅλον [14]) τὸν Σαχαλίτην χώμασι κείμενον καὶ ἀφύλακτον, δυνάμει θεῶν τινὶ τοῦτον τὸν τόπον ἐπιτηρούντων· οὔτε γὰρ λάθρα οὔτε φανερῶς χωρὶς βασιλικῆς δόσεως εἰς πλοῖον ἐμβληθῆναι δύναται, κἂν χόνδρον τις ἄρῃ, οὐ δύναται πλεῦσαι τὸ πλοῖον ἀπὸ λιμένος δίχα δαίμονος [15]).

---

laborant, sed emendandi rationem certam non inveni. — 8) γύρτην cod., emend. Stuck. — De κιννάβαρι, nostr. Drachenblut, vid. Lassen l. d. p. 281. — 9) χαριβαήλ et mox Μούζα cod. — 10) αὐτάς cod. — De Limyrica, hod. Canara, cfr. Ritt. XII, 334. Auctore Kuelbio l. l. p. 248 Limyrica est regio ab urbe Goa usque ad Peram fluvium. — 11) Redit auctor hisce ad Syagrum promontorium et alium sinum (prope hod. Keschin et Cap Fartak) sed eum quoque ad occidentem Syagri prom. commemorat. Cfr. Ritt. XII, 334, quem etiam de Omana cfr. XII, 335; 373 sqq.; 381. Vid. etiam Forbig. II, 522. — 12) Hod. Dafar sive Zafar; cfr. Ritt. XII, 297; 311; 334 et XIV, 377. Mox cod. Κανή. — 13) „Wann der gegenmonsun eingetreten ist" Ritter XII, 334. De voce ἔλαιον cfr. eund. VI, 498 et XII, 335. — 14) ἀντιφορτίζουσιν. παρ' ὅλον δὲ τὸν Σαχ. χώματι κειμένῳ καὶ ἀφυλάκτῳ cod. — Cfr. praeterea Ritt. XII, 335 et 358. — 15) πλοῖον ἀπὸ δαίμο-

Ἐπ' ἄλλους σταδίους ὡς χιλίους πεντακοσίους ἕως Ἀσίχωνος[16]) αὕτη ἡ γῆ παρατείνει καὶ κατὰ τὸ ἀπολῆγον αὐτοῦ μέρος ἑπτὰ νῆσοι πρόκεινται κατὰ τὸ ἑξῆς, αἱ Ζηνοβίου λεγόμεναι, μεθ' ἃς ἄλλη παράκειται χώρα βάρβαρος οὐκ ἔτι τῆς αὐτῆς βασιλείας[17]), ἀλλ' ἤδη τῆς Περσίδος, ἣν ἀφ' ὕψους παραπλέοντι ὡς σταδίους δισχιλίους ἀπὸ τῶν Ζηνοβίου συναντᾷ νῆσος Σαράπιδος λεγομένη, σταδίων ἀπὸ τῆς γῆς ὡσεὶ ἑκατὸν εἴκοσι. Ταύτης τὸ μὲν πλάτος ἐστὶν ὡσεὶ σταδίων διακοσίων, οἰκεῖται δὲ κώμαις τρισὶ καὶ ἀνθρώποις ἱεροῖς Ἰχθυοφάγων· γλώσσῃ δὲ Ἀραβικῇ χρῶνται καὶ περιζώμασι φύλλων κουκίνων[18]). Ἔχει δὲ ἡ νῆσος χελώνην ἱκανὴν καὶ διάφορον, ἐξαρτίζουσι δὲ εἰς αὐτὴν συνήθως οἱ ἀπὸ Κανῆς σκάφας καὶ ἐφόλκια. Περικολπίζοντι δὲ τὴν ἐχομένην ἤπειρον εἰς αὐτὴν τὴν ἄρκτον ἤδη περὶ τὴν εἰςβολὴν τῆς Περσικῆς θαλάσσης κεῖνται νῆσοι πλείονες[19]), Καλαίου λεγόμεναι νῆσοι, σχεδὸν ἐπὶ σταδίους δισχιλίους || παρεστραμμέναι[20]) τῇ χώρᾳ· πονηροὶ δὲ οἱ κατοικοῦντες αὐτὰς ἄνθρωποι καὶ ἡμέρας οὐ πολύ τι βλέποντες. || 20 H.

Περὶ δὲ τὴν ἐσχάτην κεφαλὴν τῶν Καλαίου[21]) νήσων καὶ τὸ λεγόμενον Καλὸν ὄρος ἐκδέχεται μετ' οὐ πολὺ τὸ στόμα τῆς Περσικῆς καὶ πλεῖσται κολυμβήσεις εἰσὶ τοῦ πινικίου κόγχου. Τούτου δὲ τοῦ στόματος ἐκ τῶν εὐωνύμων ἐστὶν ὄρη μέγιστα λεγόμενα Ἀσαβῶν[22]) ἐκ δὲ τῶν δεξιῶν ἄντικρυς ἀφο-

---

νος ῥίχα λιμένος cod., emend. Salmas. — 16) *ἀσίχωνος ἄχρι τῆς γῆς* codex. Emendavi, sed fortasse quaedam exciderunt, quae indagare adhuc non potui. Intelligitur autem regio ad sinum hod. Hasik (Haschisch) sive Kuria-Muria, et Zenobi insulae sunt hod. Kuria-Muria, Arabum Beit Zenobi; Ritt. XII, 310 sqq.; 336 sq.; 345. Ceterum post Zenobi insulas iterum Syagri promontori mentio erat facienda. — 17) H. e. Eleazi regis et terrae thuriferae; et *ἀφ' ὕψους* non de mari alto sed de navigatione ad littus intelligendum; cfr. Ritt. XII, 348 coll. Vincent. l. l. II, 348. — Mox codex *ἀπὸ σταδίων τῆς γῆς*. Ceterum de his et proxima regione Arabiae orientalis cfr. Ritt. XII, 347 sqq. et 351. — 18) Gesnerus maluit *κοϊκίνων*. Intelligenda est cocos nucifera thebaica Linnei; cfr. Ritt. V, 835 et XII, 349. — Homines autem illi *ἱεροί* sunt judice Vincento e r e m i t a e. — 19) *πλεόμεναι* cod. Emendationem nostram occupavit Stuckius. — 20) H. e. remotae a terra continente; Ritt. XII, 349. In proximis codex *αὐτήν* pro *αὐτάς*. — 21) *κακίου* codex. — 22) *σαβῶ* cod.; Salmas. emend.

ρωμενον ἄλλο στρογγύλον ὑψηλὸν, τὸ Σεμιράμιδος λεγόμενον,
καὶ μέσος αὐτὸς ὁ διάπλους τοῦ στόματος ὡς σταδίους ἑξακο-
σίους, δι᾽ οὗ μέγιστος καὶ πλατύτατος εἰς τοὺς ἐσωτάτους τόπους
ὁ Περσικὸς κόλπος ἀναχεῖται, καθ᾽ ὃν ἐν τοῖς ἐσχάτοις αὐτοῦ
μέρεσιν ἐμπόριόν ἐστι νόμιμον, λεγόμενον ἡ Ἀπολόγου, κειμένη
κατὰ Σπασίνου χώραν[23]) καὶ ποταμὸν Εὐφράτην. Παραπλεύ-
σαντι δὲ τοῦτο τὸ στόμα τοῦ κόλπου μετὰ δρόμους ἓξ ἕτερον
ἐμπόριόν ἐστι τῆς Περσίδος, τὰ λεγόμενα Ὄμανα. Ἐξαρτίζε-
ται δὲ εἰς αὐτὴν συνήθως, ἀπὸ μὲν Βαρυγάζων εἰς ἀμφότερα
ταῦτα τῆς Περσίδος ἐμπόρια πλοῖα μεγάλα χαλκοῦ καὶ ξύλων
Σανταλίνων[24]) καὶ δοκῶν καὶ κεράτων καὶ φαλάγγων σησα-
μίνων[25]) καὶ ἐβενίνων, εἰς δὲ τὰ Ὄμανα καὶ ἀπὸ Κανῆς λί-
βανος καὶ ἀπ᾽ Ὀμάνων εἰς τὴν Ἀραβίαν ἐντόπια ῥαπτὰ πλοά-
|| 21 H. ρια, τὰ λεγόμενα || μαδάρα[26]). Εἰςφέρεται δὲ ἀπὸ ἑκατέρων
τῶν ἐμπορίων εἴς τε Βαρύγαζα καὶ εἰς Ἀραβίαν πινικὸν πολὺ
μὲν χεῖρον δὲ τοῦ Ἰνδικοῦ καὶ πορφύρα καὶ ἱματισμὸς ἐντόπιος
καὶ οἶνος καὶ φοῖνιξ πολὺς καὶ χρυσὸς καὶ σώματα. Μετὰ δὲ
τὴν Ὀμανιτικὴν χώραν ὁμοίως ἡ Ἀραβιτῶν[27]) παράκειται βα-
σιλείας ἑτέρας καὶ κόλπος τῶν Παράγων λεγόμενος, οὗ κατὰ
μέσον εἰς τὸν κόλπον παρανατείνει ὄρος. Καὶ παρ᾽ αὐτὸν ποτα-
μός ἐστιν, ἔχων εἰςαγωγὴν πλοίοις, καὶ μικρὸν ἐπὶ τοῦ στόμα-
τος ἐμπόριον Ὡραία λεγόμενον καὶ κατ᾽ αὐτὸν μεσόγειος[28])

In Arriani Indicis c. 32 *Μάκετα* vocatur, hodie Ras Mussendom (Moçandom, Musseldom); cfr. Ritt. XII, 432. In proximis cod. *σεμειράμεως*, intelligitur autem mons Kumbarek sive Bombarek, rectius Kuhmubarek, prope promontorium Jask; cfr. Ritt. XII, 430. — 23) *κατακασίνου χώρα* cod., emend. Salmas. De Apologi emporio cfr. Bochart. geogr. sacr. lib. IV, c. 22 et Forbiger II, 625. Pro *καὶ ποταμ.* codex *κατὰ ποτ.* et in proximis *ἡ λεγομένη Ὀμ.* — 24) *σαγάλινο* cod., emendav. Salmas. Exerc. Plin. p. 726 et Lassen l. l. Intellige santalum album. — 25) *σασαμίνων* cod., emend. Stuck. Mox cod. *τὴν Ὀμ.* et *ἀπὸ Κανή.* — 26) *μαδάρα τε* et mox *Βαρύγαζαν* cod. — 27) *ἢ παρ᾽ ὁδὸν παραχ.* codex. Fortasse etiam *ὁμοίως* delendum. Pro *Παράγων* cod. *τεράβδων* et post *παρανατείνει.* praetermisit *ὄρος*. Paragon sinus in ora Gedrosiae situs fuit; cfr. Lassen l. l. I, 290; Forbig. II, 527. Fluvius autem, cujus nomen silet auctor, Tomerus est veterum, et emporium Oraea (cod. *ὡραία*) hod. Urmara vocatur; cfr. Lassen l. l. I, 291 et Forbig. II, 530. — 28) Rectissime Forbiger II, 530 *Ῥαμβακίαν* Alexandri (Arrian. Exped. VI, 21) intel-

πόλις, ἀπέχουσα ὁδὸν ἡμερῶν ἑπτὰ ἀπὸ θαλάσσης, ἐν ᾗ καὶ βασιλεία ἡ λεγομένη. Φέρει δὲ ἡ χώρα σῖτον πολὺν καὶ οἶνον καὶ ὄρυζαν καὶ φοίνικα, πρὸς δὲ τὴν ἤπειρον οὐδὲν ἕτερον ἢ βδέλλαν[29]).

Μετὰ δὲ ταύτην τὴν χώραν, ἤδη τῆς ἠπείρου διὰ τὸ βάθος τῶν κόλπων ἐκ τῆς ἀνατολῆς ὑπερκερώσης, ἐκδέχεται παραθαλάσσια μέρη τῆς Σκυθίας[30]) παρ' αὐτὸν κείμενα τὸν βορέαν, ταπεινὰ λίαν. Ἑξῆς[31]) ποταμὸς Σίνθος, μέγιστος τῶν κατὰ τὴν Ἐρυθρὰν Θάλασσαν ποταμῶν καὶ πλεῖστον ὕδωρ εἰς θάλασσαν ἐκβάλλων, ὥςτε ἄχρι πολλοῦ — καὶ πρὶν ἢ συμβάλῃ τῇ χώρᾳ — εἰς τὸ πέλαγος ἀπαντᾶν ἀπ' αὐτοῦ λευκὸν ὕδωρ. Σημεῖον δὲ ἤδη τῆς περὶ αὐτὴν χώραν ἐπιβολῆς || τοῖς ἐκ πελάγους ἐρχομένοις οἱ || 22 H. προαπαντῶντες ὄφεις[32]) ἐκ τοῦ βάθους· τῶν γὰρ ἐπάνω καὶ περὶ τὴν Περσίδα τόπων σημεῖόν ἐστιν αἱ λεγόμεναι γράαι. Ἑπτὰ δὲ οὗτος ὁ ποταμὸς ἔχει στόματα, λεπτὰ δὲ ταῦτα καὶ τεναγώδη, καὶ τὰ μὲν ἄλλα διάπλουν οὐκ ἔχει, μόνον δὲ τὸ μέσον, ἐφ' οὗ καὶ παραθαλάσσιον ἐμπόριόν ἐστιν Βαρβαρικόν[33]). Πρόκειται δὲ αὐτοῦ νησίον μικρόν, καὶ κατὰ νώτου μεσόγειος ἡ μητρόπολις αὐτῆς τῆς Σκυθίας Μιννάγαρα· βασιλεύεται δὲ ὑπὸ Πάρθων, συνεχῶς ἀλλήλους ἐνδιωκόντων. Τὰ μὲν οὖν πλοῖα κατὰ τὴν Βαρβαρικὴν διορμίζεται[34]), τὰ δὲ φορτία πάντα εἰς τὴν μητρόπολιν ἀναφέρεται διὰ τοῦ ποταμοῦ τῷ βασιλεῖ. Προχωρεῖ δὲ εἰς τὸ ἐμπόριον ἱματισμὸς ἁπλοῦς ἱκανὸς καὶ νόθος οὐ πολύς, πολύμιτα[35]) καὶ χρυσόλιθον καὶ κοράλλιον καὶ στύραξ καὶ λίβανος καὶ ὑαλᾶ σκεύη καὶ ἀργυρώματα καὶ χρῆμα, οἶνος δὲ οὐ πολύς. Ἀντιφορτίζεται δὲ κόστος, βδέλλα, λύκιον, νάρδος καὶ καλλαϊνὸς[36]) λίθος καὶ σάπφειρος καὶ Σηρικὰ δέρματα καὶ ὀθόνιον καὶ νῆμα Σηρικὸν καὶ Ἰνδικὸν μέλαν. Ἀνάγονται δὲ καὶ αὐτοὶ οἱ πλέοντες

---

ligit. — 29) βδέλλα cod. Aliis vocatur βδέλλιον. Est myrrha Indica sive gummi amyridis agallochum, cfr. Lassen l. l. p. 290. — 30) Cfr. de his Scythis Indicis Ritter V, 475 et 485; Forbig. II, 492 sq. et 509. — 31) λίαν ἐξ ὧν cod., emend. Huds. De Sintho (Indo) cfr. Ritt. V, 449 sq.; Forbig. II, 63 sq. et 488; Lassen l. l. p. 97. — 32) Cfr. infra p. 23 extr. Huds. et Bohlen in India antiq. II, 134. — 33) Hod. Rechel, Ritt. V, 475. Minnagara autem (codex habet hic Μινναγάρ et infra p. 24 Μινναγάρα) est hod. Tatta, Ritt. V, 475; Forbig. II, 506. — 34) διορμίζονται cod. — 35) πολύμπα cod., emend. Stuck. — 36) Κόστος est Indorum Kusht sive Kuth; cfr. Lassen l. l p. 288. Pro καλλ.

μετὰ τῶν Ἰνδικῶν περὶ τὸν Ἰούλιον μῆνα, ὅς ἐστιν Ἐπιφί· δυςεπίβολος μὲν ἐπιφορώτερος [37]) δὲ ἐκείνων καὶ συντομώτερος ὁ πλοῦς.

|| 23 H. Μετὰ || δὲ τὸν Σίνθον ποταμὸν ἕτερός ἐστι κόλπος ἀθεώρητος παρὰ τὸν βορέαν· ὀνομάζεται δὲ Εἰρινόν [38]), ἐπιλέγεται δὲ ὁ μὲν μικρὸν ὁ δὲ μέγα. Πελάγη δέ ἐστιν ἀμφότερα τεναγώδη καὶ δίνας ἐλαφρὰς ἔχοντα καὶ συνεχεῖς καὶ μακρὰς ἀπὸ τῆς γῆς, ὡς πολλάκις, τῆς ἠπείρου μηδὲ βλεπομένης, ἀποκέλλειν τὰ πλοῖα, ἐνδοτέρω δὲ προληφθέντα καὶ ἀπόλλυσθαι. Τούτου δὲ ὑπερέχει [39]) τοῦ κόλπου ἀκρωτήριον, ἐπικαμπὲς ἀπὸ τοῦ ὅρμου μετὰ τὴν ἀνατολὴν καὶ τὸν νότον ὡς εἰς τὴν δύσιν, ἐμπεριλαμβάνον αὐτὸν τὸν κόλπον λεγόμενον Βαράκην, νήσους ἑπτὰ ἐμπεριειλημμένον, οὗ περὶ μὲν τὰς ἀρχὰς οἱ περιπεσόντες ὀλίγον ὀπίσω καὶ εἰς τὸ πέλαγος ἀναδραμόντες ἐκφεύγουσιν, οἱ δὲ εἰς αὐτὴν κατακλεισθέντες τὴν τοῦ Βαράκου κοιλίαν ἀπόλλυνται· τὸ μὲν [40]) γὰρ κῦμα μέγα καὶ βαρὺ λίαν ἡ δὲ θάλασσα ταραχώδης καὶ θολερὰ καὶ δίνας ἔχουσα καὶ ῥοώδεις εἰλίγγους. Ὁ δὲ βυθὸς ἐν τισι μὲν ἀπόκοπος ἐν τισι δὲ πετρώδης καὶ ἀπόξυρος, ὥςτε τέμνεσθαι τὰς παρακειμένας ἀγκύρας, ἀντέχειν ἀποκοντουμένας, ἃς δὲ καὶ συντριβομένας ἐν τῷ βυθῷ. Σημεῖον δ' αὐτῶν τοῖς ἀπὸ πελάγους ἐρχομένοις οἱ προαπαντῶντες ὄφεις ὑπερμεγέθεις καὶ μέλανες· ἐν γὰρ τοῖς μετὰ ταῦτα τόποις καὶ τοῖς περὶ Βαρύγαζα [41]) μικρότεροι καὶ τῷ χρώματι χλωροὶ καὶ χρυσίζοντες ὑπαντῶσιν.

|| 24 H. || Μετὰ δὲ τὸν Βαράκην εὐθύς ἐστιν ὁ Βαρυγάζων κόλπος καὶ ἡ πρὸς τῆς Ἀριακῆς [42]) χώρας τῆς Μαμβάρου βασιλείας

---

codex καλλιανός. Est i. q. χρυσόλιθον in proxime praecedentibus et infra p. 28 H.; cfr. Lassen l. l. p. 243. Νῆμα Σηρικὸν est sericum sive bombyx, nostrum Seide. Seres autem a Graecis et Romanis omnes ii populi vocabantur, qui sericum in regiones occidentales ferebant; cfr. Lassen l. l. p. 321. Indicum nigrum est nostrum Indigo; cfr. Lassen l. l. p. 277. — 37) ἐπιφορώτατος cod., emend. Stuck. — 38) Hod. Run sive Rin; cfr. Ritt. VI, 945 sq.; VII, 171; XIV, 394; Lass. I, 103. — 39) ἀπολλύμενα et ὑπερήκει cod.; poster. emend. Huds. In prox. cod. Βαράκης (intelligitur sinus h. Kakha; Lass. I, 130 sq.) et ἐμπεριειλημμένος. — 40) τό τε γάρ cod. — 41) βαρύγαζαν cod. ut aliquoties. — 42) ἀραβικῆς cod., emend. Stuck., cui accedit Lassen I, 108; aliter Forbig. II, 506. — Barygaz. sinus est hod. sinus Cambay; Lass. I, 103; Ritter XIV, 394; Μαμβάρ. judice Kuelbio (I, 246) i. q. Indorum

ἀρχὴ, καὶ τῆς ὅλης Ἰνδικῆς οὖσα. Ταύτης τὰ μὲν μεσόγεια τῇ Σκυθίᾳ συνορίζοντα Ἀβιρία καλεῖται τὰ δὲ[43]) παραθαλάσσια Συραστρηνή. Πολυφόρος δὲ ἡ χώρα σίτου καὶ ὀρύζης καὶ ἐλαίου σησαμίνου καὶ βουτύρου καὶ καρπάσου καὶ τῶν ἐξ αὐτῆς Ἰνδικῶν ὀθονίων τῶν χυδαίων. Βουκόλια δὲ ἐν αὐτῇ πλεῖστα καὶ ἄνδρες ὑπερμεγέθεις τῷ σώματι καὶ μέλανες τῇ χροιᾷ. Μητρόπολις δὲ τῆς χώρας Μιννάγαρα, ἀφ' ἧς καὶ πλεῖστον ὀθόνιον εἰς Βαρύγαζα κατάγεται. Σώζεται δὲ ἔτι καὶ νῦν τῆς Ἀλεξάνδρου στρατιᾶς σημεῖα περὶ τούτους[44]) τοὺς τόπους, ἱερά τε ἀρχαῖα καὶ θεμέλιοι παρεμβολῶν καὶ φρέατα μέγιστα. Ὁ δὲ παράπλους ταύτης τῆς χώρας ἀπὸ τοῦ Βαρβαρικοῦ μέχρι τοῦ κατὰ Ἀστάκαπρα[45]) ἀπέναντι Βαρυγάζων ἀκρωτηρίου τῆς λεγομένης Λαρικῆς[46]) ἐστὶ σταδίων τρισχιλίων. Μεθ' ἧς ἕτερός ἐστι κόλπος[47]) ἔσω κυμάτων εἰς αὐτὸν ἐνδύνων τὸν βορέαν, οὗ κατὰ μὲν τὸ στόμα νῆσός ἐστιν ἡ λεγομένη Βαιώνης, ἐν δὲ τοῖς ἐσωτάτοις τόποις μέγιστος ποταμὸς ὁ λεγόμενος Μάϊς[48]). Τοῦτον τὸν κόλπον τὸ πέλαγος ὡς σταδίων τριακοσίων οἱ πλέοντες εἰς Βαρύγαζα διαπερῶνται, ἐξ || εὐωνύμων || 25 H.
ἀκροφανῆ καταλιπόντες τὴν νῆσον καὶ εἰς αὐτὴν ἀνατολὴν ἐπ' αὐτὸ τὸ στόμα τοῦ ποταμοῦ Βαρυγάζων· λέγεται δὲ αὐτὸς ὁ ποταμὸς Ναμνάδος[49]). Ὁ δὲ κόλπος αὐτὸς ὁ κατὰ Βαρύγαζα στενὸς ὢν τοῖς ἐκ πελάγους ἐρχομένοις ἐστὶ δυσεπίβολος· ἢ γὰρ εἰς τὰ δεξιὰ ἢ εἰς τὰ εὐώνυμα παραπίπτουσι, ἥτε ἐπιβολὴ κρείσσων ἐστὶ τῆς ἑτέρας. Ἀλλ' ἐκ μὲν τῶν δεξιῶν κατ' αὐτὸ τὸ στόμα τοῦ κόλπου παράκειται ταινία[50]) τραχεῖα καὶ διάσπιλος,

---

Mahabharata i. e. rex magnus. — 43) *τῆς σκυθίας συνορ. ἰβηρίᾳ* (*Ἰβηρ.* retinet Forbig. II, 509), *καλεῖται δὲ τά.* Abiria autem est terra populi Indici Abhîra, inclitum Ophir scripturae sacrae; cfr. Lass. p. 539 et Ritt. XIV, 391. Syrastrene = Surâshtra i. e. regnum pulchrum, est hod. peninsula Guzerat; Lass. pag. 105 et 405; Ritt. V, 514; Bohl. I, 19. — 44) *τούτους* deest in cod. ut aliquoties. — 45) *κατὰ ἄστα καὶ τραπέραν βαρυγάζ.* codex; Salmas. emendav. — 46) *κακικῆς· ἔστιν δὲ σταδ.* codex. *Λαρικῆς* voluit etiam Lassen apud Ritt. XIV, 393. Larice = Latika est priscum Guzeratae nomen; cfr. Lassen I, 108. — 47) *τόπος* cod. — 48) Hodie Mahî; Lassen I, 84. In proximis a librario verba mire transposita esse videntur. — 49) *λαμναῖος. ὅ τε κόλ.* cod.; nostram emendat. firmat Lassenis auctoritas (l. l. I, 87). Hodie Narmadâ; cfr. etiam Bohlen I, 18. — 50) *τεινία* codex, emend. Stuck. In proximis cod. *καμμωνὶ κώμην*, tum *ἀστακάμπρων* et *ἡ*

Ἡρώνη λεγομένη, κατὰ Καμάνην κώμην· ἐκ δὲ τῶν εὐωνύμων ἀπέναντι ταύτης τὸ πρὸ Ἀστακάπρων ἀκρωτήριον ἡ Λαρικὴ λεγομένη, δύςορμος οὖσα διά τε τὸν ῥοῦν τὸν περὶ αὐτὴν καὶ διὰ τὸ ἀποκόπτειν τὰς ἀγκύρας, τραχὺν ὄντα καὶ πετρώδη τὸν βυθόν. Κἂν κατ' αὐτὸν δέ τις ἐπιβάλῃ τὸν κόλπον, αὐτὸ τὸ στόμα τοῦ κατὰ Βαρύγαζα ποταμοῦ δυςεύρετόν ἐστι διὰ τὸ τὴν χώραν ταπεινὴν εἶναι καὶ μηδὲν ἐγγύτερον ἐνεχύρως θεωρεῖσθαι. Κἂν εὑρεθῇ, δυςείςβολός ἐστι διὰ τὰ περὶ αὐτὸν τενάγη τοῦ ποταμοῦ. Τούτου χάριν περὶ αὐτὸν τὸν εἴςπλουν βασιλικοὶ ἁλιεῖς ἐντόπιοι πληρώμασι μακρῶν πλοίων, ἃ λέγεται τράππαγα καὶ κότυμβα, πρὸς ἀπάντησιν ἐξέρχονται μέχρι τῆς Συραστρηνῆς, ἀφ' ὧν ὁδηγεῖται τὰ πλοῖα μέχρι Βαρυγάζων. Κλίνουσι γὰρ
||26 H. εὐθὺς ἀπὸ τοῦ στόματος τοῦ κόλπου διὰ τὰ τενάγη || τοῖς πληρώμασι καὶ ῥυμουλκοῦσιν αὐτὰ σταθμοῖς ἤδη τεταγμένοις, ἀρχομένης μὲν τῆς πλήμης αἴροντες, ἱσταμένης[51]) δὲ διορμίζοντες κατά τινας ὅρμους καὶ κυθρίνους. Οἱ δὲ κυθρῖνοι τόποι εἰσὶ τοῦ ποταμοῦ βαθύτεροι μέχρι Βαρυγάζων· ἀπέχει γὰρ ἀπὸ τοῦ στόματος ἄνω παρὰ τὸν ποταμὸν κειμένη ὡς σταδίων τριακοσίων. Πᾶσα μὲν ἡ Ἰνδικὴ χώρα ποταμοὺς ἔχει πλείστους, ἀμπώτεις τε καὶ πλήμας μεγίστας, συναυξομένας[52]) ὑπὸ τὴν ἀνατολὴν καὶ τὴν πανσέληνον ἄχρι τριῶν ἡμερῶν καὶ τοῖς μεταξὺ καταστήμασι τῆς σελήνης ἐλασσουμένας, πολὺ δὲ μᾶλλον ἡ κατὰ Βαρυγάζων, ὥςτε αἰφνίδιον τόν τε βυθὸν ὁρᾶσθαι καί τινα μέρη τῆς ἠπείρου ποτὲ δὲ ξηρά, τὰ πρὸ μικροῦ πλωϊζόμενα, τούς τε ποταμοὺς ὑπὸ τὴν εἰςβολὴν τῆς πλήμης τοῦ πελάγους ὅλου συνωθουμένου σφοδρότερον ἄνω φέρεσθαι τοῦ κατὰ φύσιν ῥεύματος ἐπὶ πλείστους σταδίους. Διὸ καὶ κινδυνώδεις εἰσὶν αἱ τῶν πλοίων προςαγωγαὶ καὶ ἐξαγωγαὶ τοῖς ἀπείροις καὶ πρώτως εἰςάγουσιν εἰς τὸ ἐμπόριον. Γινομένης γὰρ ὁρμῆς ἤδη περὶ τὴν πλήμην οὐδὲν περιεμένην οὐ κατέχουσιν ἄγκυραι[53])· διὸ καὶ τὰ προληφθέντα πλοῖα, τῇ Ἰνδίᾳ πλαγιασθέντα ὑπὸ τῆς ὀξύτητος τοῦ ῥοός, ἐποκέλλει τοῖς τενάγεσι καὶ ἀνακλᾶται, τὰ δὲ μικρότερα
||27 H. καὶ περιτρέπεται, τινὰ || δὲ καὶ περὶ τὰς διώρυχας ἀποκεκλικότα διὰ τὸ περὶ τὴν ἄμπωτιν, ὅτ' ἂν μὴ διερίσῃ, τῆς πλήμης αἰφνίδιον ἀπελθούσης, ὑπὸ τῆς πρώτης κεφαλῆς τοῦ ῥοὸς ἐμπίμπλαται.

κακικὴ λεγ. — 51) ἑστημένης cod. — 52) συναπτομένας cod., emend. Stuck. — 53) περιεμένης αἱ κατέχουσιν ἄγκυραι cod. — 54) Ἐπίκ. γὰρ

Τοσαῦται γαρ περὶ την εἰςβολὴν τῆς θαλάσσης γίνονται βίαι κατὰ τὰς συμμηνίας ὑπὸ τὴν νυκτερινὴν μάλιστα πλήμην, ὥςτε ἀρχομένης ἤδη τῆς εἰςαγωγῆς, ὅτ' ἂν ἠρεμῇ τὸ πέλαγος, ὑπ' αὐτοῦ φέρεσθαι τοῖς ἀπὸ τοῦ στόματος, παραπλήσιον βοῆς στρατοπέδου μακρόθεν ἀκουομένης, καὶ μετ' ὀλίγον αὐτὴν ἐπιτρέχειν τοῖς τενάγεσι ῥοίζῳ τὴν θάλασσαν.

Ἐπίκειται δὲ[54]*) τοῖς Βαρυγάζοις κατὰ τὰ μεσόγεια πλείονα ἔθνη, τό τε τῶν Ἀραττίων καὶ Ἀραχουσίων καὶ Γανδαραίων καὶ τῆς Πευκελαΐδος, ἐν οἷς ἡ Βουκέφαλος Ἀλεξάνδρεια. Καὶ τούτων ἐπάνω μαχιμώτατον ἔθνος Βακτριανῶν, ὑπὸ βασιλέα ἔχον*[55]*) ἴδιον τόπον. Καὶ Ἀλέξανδρος ὁρμηθεὶς ἀπὸ τῶν μερῶν τούτων ἄχρι τοῦ Γάγγους διῆλθε, καταλιπὼν τήν τε Λιμυρικὴν καὶ τὰ νότια τῆς Ἰνδικῆς, ἀφ' οὗ μέχρι νῦν ἐν Βαρυγάζοις παλαιαὶ προχωροῦσι δραχμαὶ, γράμμασιν Ἑλληνικοῖς ἐγκεχαραγμέναι ἐπίσημα τῶν μετ' Ἀλέξανδρον βεβασιλευκότων Ἀπολλοδότου καὶ Μενάνδρου*[56]*). Ἔνεστι δὲ αὐτῆς κατὰ τὴν ἀνατολὴν πόλις*[57]*) || λεγομένη Ὀζήνη — ἐν ᾗ καὶ τὰ βασίλεια*[58]*) πρότερον ἦν —, ἀφ' ἧς πάντα τὰ πρὸς εὐθηνίαν τῆς χώρας εἰς Βαρύγαζα καταφέρεται καὶ τὰ πρὸς ἐμπορίαν τὴν ἡμετέραν, ὀνυχίνη λιθία καὶ μοῤῥίνη καὶ σινδόνες Ἰνδικαὶ καὶ μολόχιναι καὶ ἱκανὸν χυδαῖον ὀθόνιον. Κατάγεται δὲ δι' αὐτῆς καὶ ἀπὸ τῶν ἄνω τόπων ἡ διὰ Πευκελαΐδος*[59]*) καταφερομένη νάρδος ἡ Καττυβουρίνη καὶ ἡ Πατροπαπίγη καὶ ἡ Καβαλίτη καὶ ἡ διὰ τῆς παρακειμένης Σκυθίας, ὅ τε κόστος καὶ ἡ βδέλλα. Προχωρεῖ δὲ εἰς τὸ ἐμπόριον οἶνος προηγουμένως Ἰταλικὸς καὶ Λαοδικηνὸς καὶ Ἀραβικὸς καὶ χαλκὸς καὶ κασσίτερος καὶ μόλυβδος, κοράλλιον καὶ χρυσόλιθον, ἱματισμὸς ἁπλοῦς καὶ νόθος παντοῖος, πολύμιτοι ζῶναι πηχυαῖαι,* ||28 H.

κατὰ τὰ τῇ Β. μεσόγεια πλ., deinde *ἀρατρίων καὶ ῥαχούσων καὶ τανδαράγων καὶ τῆς προκλίδος* codex. De his populis vid. Lassen l. l. I, 107 et de Buceph. Alex. (hod. Multan; Groskurd. ad Strab. p. 698) Forbig. II, 512. — 55) *οὖσαν* cod.; fortasse quaedam exciderunt. De Limyrica cfr. etiam Ritt. V, 490; 515 et eundem V, 476; 481; 483 de nummis. — 56) Cfr. Ritt. V, 485. — 57) *ἔνι δὲ αὐτῆς καὶ ἐξ ἀνατολῆς πόλ.* codex. De Ozene, hod. Uǵǵajini sive Ougein, cfr. Ritt. V, 486 et Lassen I, 107 et 116. — 58) Scil. Sacastani; cfr. Ptolem. 7, 1, 63; Lassen in diariis orientalibus, vol. IV, p. 194. Mox codex *Βαρύγαζαν* et *μουῤῥίνη*. De *ὀνυχ. λιθ.* cfr. Lassen in antiq. Indic. I, 243. — 59) *προκλαΐδος* cod., de qua voce aliter statuit Lassen l. l. I, 288 et 421. De nardo cfr. eundem

στύραξ, μελίλωτον, ὕαλος ἀργή, σανδαράκη, στίμμι[60]), δηνάριον
χρυσοῦν καὶ ἀργυροῦν, ἔχον ἀλλαγὴν καὶ ἐπικέρδειάν τινα πρὸς τὸ
ἐντόπιον νόμισμα, μύρον οὐ βαρύτιμον οὐδὲ πολύ· τῷ δὲ βασιλεῖ
κατ' ἐκείνους τοὺς καιροὺς εἰςφερόμενα βαρύτιμα ἀργυρώματα καὶ
μουσικὰ καὶ παρθένοι εὐειδεῖς πρὸς παλλακίαν καὶ διάφορος οἶνος
καὶ ἱματισμὸς ἁπλοῦς πολυτελὴς καὶ μύρον ἔξοχον. Φέρεται δὲ ἀπὸ
τούτων τῶν τόπων νάρδος, κόστος, βδέλλα, ἐλέφας, ὀνυχίνη λιθία καὶ
σμύρνα καὶ λύκιον καὶ ὀθόνιον παντοῖον καὶ Σηρικὸν καὶ μολόχινον
|| 29 H. καὶ νῆμα || καὶ πέπερι[61]) μακρὸν καὶ τὰ ἀπὸ τῶν ἐμπορίων
φερόμενα. Ἀποπλέουσι δὲ κατὰ καιρὸν οἱ ἀπὸ τῆς Αἰγύπτου εἰς
τὸ ἐμπόριον ἀναγόμενοι περὶ τὸν Ἰούλιον μῆνα, ὅς ἐστιν Ἐπιφί.

Μετὰ δὲ τὰ Βαρύγαζα[62]) εὐθέως ἡ συναφὴς ἤπειρος ἐκ
τοῦ βορέου εἰς τὸν νότον παρεκτείνει· διὸ καὶ Δαχιναβάδης[63])
καλεῖται ἡ χώρα· δάχανος γὰρ καλεῖται ὁ νότος τῇ αὐτῶν γλώσσῃ.
Ταύτης ἡ μὲν ὑπερκειμένη πρὸς ἀνατολὰς μεσόγειος ἐμπεριέχει
χώρας τε πολλὰς καὶ ἐρήμους καὶ ὄρη μεγάλα καὶ θηρίων γένη
παντοίων, παρδάλεις τε καὶ τίγρεις καὶ ἐλέφαντας καὶ δράκοντας
ὑπερμεγέθεις καὶ κροκόττας καὶ κυνοκεφάλων πλεῖστα γένη, ἔθνη
τε πλεῖστα καὶ πολυάνθρωπα μέχρι τοῦ Γάγγους[64]). Τῶν δὲ
ἐν αὐτῇ τῇ Δαχιναβάδει δύο ἐστὶ τὰ διασημότατα ἐμπόρια,
Παίθανα μὲν[65]) ἀπὸ Βαρυγάζων ἔχοντα ὁδὸν ἡμερῶν εἴκοσι
πρὸς νότον, ἀπὸ δὲ ταύτης ὡς ἡμερῶν δέκα πρὸς ἀνατολὴν
ἑτέρα πόλις μεγίστη Τάγαρα. Κατάγεται δὲ ἐξ αὐτῶν πορείαις
ἁμαξῶν καὶ ἀνοδίαις μεγίσταις εἰς τὰ Βαρύγαζα ἀπὸ μὲν Παιθάνων
ὀνυχίνη λιθία πλείστη ἀπὸ δὲ Ταγάρων ὀθόνιον πολὺ χυδαῖον
καὶ σινδόνων παντοῖα καὶ μολόχινα καί τινα ἄλλα τοπικῶς ἐκεῖ
προχωροῦντα φορτία τῶν παραθαλασσίων μερῶν. Ὁ δὲ ὅλος
|| 30 H. παράπλους μέχρι τῆς Λιμυρικῆς ἐστὶ σταδίων ἑπτακιςχιλίων, ||
πλεῖστοι δὲ εἰς αἰγιαλόν.

---

p. 288 sqq. — 60) στῆμι cod. — 61) Cfr. Ritt. V, 439. — 62) δὲ βαρύγαζαν εὐθ. cod. — 63) Cfr. Ritt. II, 10; V, 424; Bohlenis Indiam antiq. I, 24; Lassen l. l. p. 78. — 64) πολυάνθ. τὰ μέχρι τοῦ σύνεγγυς cod., emend. Stuck. — 65) ἐμπ. ἐπιφαινόμενα ἀπο B. cod.; nostram emendationem E. A. Schwanebeckius in Addendis ad Lassenis l. l. p. LV occupavit. Paethana est Indorum Pythan (hod. Pultanah; Ritt. V, 513) ad fluvium Godaveri (Lassen l. l. I, 177 sqq.) et Tagara hod. Deoghir prope Aurungabad (Ritt. V, 513, 562; aliter Kuelb. l. l. p. 247).

Τοπικὰ δὲ ἐμπόρια κατὰ τὸ ἑξῆς κείμενα Ἀκαβάρους, Σουπάρα [66]), *Καλλίενα πόλις, ἐπὶ τῶν Σαραγάνου τοῦ πρεσβυτέρου χρόνων ἐμπόριον ἔνθεσμον γενόμενον· μετὰ γὰρ τὸ κατασχεῖν αὐτὴν Σανδάνην ἐκωλύθη ἐπὶ πολύ, καὶ γὰρ τὰ ἐκ τύχης εἰς τούτους τοὺς τόπους εἰςβάλλοντα πλοῖα Ἑλληνικὰ μετὰ φυλακῆς εἰς Βαρύγαζα εἰςάγεται. Μετὰ δὲ Καλλίεναν ἄλλα ἐμπόρια τοπικὰ Σήμυλλα* [67]) *καὶ Μανδαγόρα καὶ Παλαιπάτμαι καὶ Μελιζειγάρα καὶ Βυζάντιον καὶ Τοπαρὸν καὶ Τυραννοσβόας. Εἶτα Σησεκρείεναι λεγόμεναι νῆσοι καὶ ἡ τῶν Αἰγιδίων καὶ ἡ τῶν Καινειτῶν κατὰ τὴν λεγομένην Χερσόνησον, καθ' οὓς τόπους εἰσὶ πειραταί* [68]), *καὶ μετὰ ταύτην Λευκὴ νῆσος. Εἶτα Νάουρα καὶ Τύνδις τὰ πρῶτα ἐμπόρια τῆς Λιμυρικῆς, καὶ μετὰ ταύτας Μουζιρὶς* [69]) *καὶ Νέλκυνδα, αἱ νῦν πράσσουσαι. Βασιλείας δ' ἐστὶν ἡ μὲν Τύνδις Κηροβόθρου* [70]), *κώμη παραθαλάσσιος ἔνσημος· ἡ δὲ Μουζιρὶς βασιλείας μὲν τῆς αὐτῆς, ἀκμάζουσα δὲ τοῖς ἀπὸ τῆς Ἀριακῆς εἰς αὐτὴν ἐρχομένοις πλοίοις καὶ τοῖς Ἑλληνικοῖς· || κεῖται* || 31 H.
δὲ παρὰ ποταμόν, ἀπέχουσα ἀπὸ μὲν Τύνδεως διὰ τοῦ ποταμοῦ καὶ διὰ θαλάσσης σταδίους πεντακοσίους ἀπὸ δὲ τοῦ κατ' αὐτὴν [71]) *εἴκοσι. Ἡ δὲ Νέλκυνδα σταδίους μὲν ἀπὸ Μουζιρέως* [72])

In prox. cod. *τάγαρα μεγίστη* et *πλιθάνων* (pro *Παιθ.*) et *βαρύγαζαν.* — 66) *οὔππαρα* et in prox. *κατασχεῖν αὐτόν* cod. De Supara (hod. Surat) cfr. Lassen I, 107; Ritt. XIV, 384; Humboldti disquis. critic. I, 318, et de Calliena (hod. Kaljani) Lass. I, 151; Bohl. I, 25; aliter Kuelb. I, 247; Forbig. II, 506. Mox cod. *πόλις ἡ ἐπί.* — 67) Cfr. Ptol. 7, 1, 6 et 7, ubi *Σίμυλλα, Μανδάγαρα, Βαλτίπατνα* et *Βυζάντειον* in edit. Nobbei. Cfr. Forbig. II, 505. Codex habet *καὶ βυζαντίων τοπαρὸν καί.* De Byzant. cfr. etiam Steph. Byz. s. v. et Droysenis hist. Hellenismi II, 720. *Αἰγιδίων* autem insulam prope Taprobanem commemorat etiam Ptol. 7, 4, 11. — 68) Sunt piratae, et intelligitur Indiae ora a Surate usque ad Goam urbem; cfr. Lassen I, 151. De Leuce insula cfr. etiam Koehleri Mémoire sur la course d'Achille pag. 14 et 197 sq. De Tyndi cfr. Lassen I, 183; Forbig. II, 504 et Kuelb. I, 248 (hod. Goa). — 69) De Muz. cfr. Ritt. V, 515 et Forbig. II, 504, et de Nelcyndis Ritt. V, 437 et 515; Forbig. l. l. et Lassen I, 158 (hod. Nilecvara). In prox. vocem *πράσσ.* Salmas. l. l. p. 835 interpretatur: quae nunc negotiantur et frequentantur mercibus. — 70) *κηπροβότου* cod., sed cfr. Lassen l. l. I, 154. Male Plinius H. N. VI, 23, 26 § 105 Celebothras. — 71) Hic quaedam exciderunt; fortasse *ἀπὸ δὲ τοῦ αὐτοῦ τόπου κατὰ γῆν εἴκοσι.* Salmasius pag. 836 maluit: *ἀπὸ δ. τ. κ. α. ἐμπορίου εἴκ.* — 72) *μουνδίρεως* cod.,

ἀπέχει σχεδὸν πεντακοσίους, ὁμοίως διά τε ποταμοῦ[73]) καὶ πεζῇ καὶ διὰ θαλάσσης, βασιλείας δέ ἐστιν ἑτέρας, τοῦ Πανδίονος[74])· κεῖται δὲ καὶ αὐτὴ παρὰ ποταμὸν, ὡςεὶ σταδίων ἑκατὸν εἴκοσι ἀπὸ τῆς θαλάσσης. Ἑτέρα δὲ κατ' αὐτὸ τὸ στόμα τοῦ ποταμοῦ πρόκειται κώμη Βαράκη[75]), εἰς ἣν ἀπὸ Νελκύνδων ἐπὶ τῆς ἀναγωγῆς προκαταβαίνουσι τὰ πλοῖα καὶ ἐπὶ σάλου διορμίζεται πρὸς ἀνάληψιν τῶν φορτίων· διὰ δὲ τὸν ποταμὸν ἅλματα καὶ διάπλους ἔχει ἐλαφρούς. Αὐτοὶ δὲ οἱ βασιλεῖς ἀμφοτέρων τῶν ἐμπορίων ἐν τῇ μεσογείᾳ κατοικοῦσιν. Καὶ περὶ τούςδε τοὺς τόπους τῆς ἐκ πελάγους ἐπιβολῆς σημεῖόν[76]) εἰσιν οἱ προαπαντῶντες ὄφεις, μέλανες μὲν καὶ αὐτοὶ τὴν χρόαν, βραχύτεροι δὲ καὶ δρακοντοειδεῖς τὴν κεφαλὴν καὶ τοῖς ὄμμασιν αἱματώδεις.

Πλεῖ δὲ εἰς τὰ ἐμπόρια ταῦτα πολλὰ[77]) πλοῖα διὰ τὸν ὄγκον καὶ τὸ πλῆθος τοῦ πεπέρεως καὶ τοῦ μαλαβάθρου. Προχωρεῖ δὲ εἰς αὐτὴν προηγουμένως χρήματα πλεῖστα, χρυσόλιθα, ἱματισμὸς ἁπλοῦς οὐ πολύς, πολύμιτα, στίμμι[78]), κοράλλιον, ὕαλος ἀργή,
|| 32 H. χαλκός, κασσίτερος, μόλυβδος, || οἶνος οὐ πολύς — σώζει δὲ τοσοῦτον, ὅσον ἐν Βαρυγάζοις —, σανδαράκη, ἀρσενικόν, σῖτος δὲ ὅσος ἀρκέσει τοῖς περὶ τὸ ναυκλήριον διὰ τὸ μὴ τοὺς ἐμπόρους αὐτῷ χρῆσθαι. Φέρεται δὲ πέπερι, μονογενῶς ἐν ἑνὶ τόπῳ τούτῳ τῷ ἐμπορίῳ γεννώμενον πολὺ, λεγόμενον Κοττοναρικόν[79]). Φέρεται δὲ καὶ μαργαρίτης ἱκανὸς καὶ διάφορος καὶ ἐλέφας καὶ ὀθόνια Σηρικὰ καὶ νάρδος ἡ Γαγγιτικὴ[80]) καὶ μαλάβαθρον ἐκ τῶν ἔσω τόπων εἰς αὐτὴν καὶ λιθία διαφανὴς παντοία καὶ ἀδάμας καὶ ὑάκινθος καὶ χελώνη ἥτε Χρυσονησιωτικὴ, ἡ[81]) περὶ τὰς νήσους θηρευομένη τὰς προκειμένας αὐτῆς τῆς Λιμυρικῆς. Πλέουσι δὲ

---

emend. Stuck. — 73) Est Ptolemaei (7, 1, 8; 34; 86) Βάρις. Cfr. Forbig. II, 487. — 74) Cfr. Lassen I, 158. In proximis ὡςεὶ ἀπὸ σταδ. ἑκ. εἴκ. τ. θ. cod. — 75) Cfr. Forbig. II, 505, not. — 76) τόπους τοῖς ἐκ πελ. σημείοις ἐπιβολῆς εἰσίν cod., emend. Stuck. — 77) μετά pro πολλά codex, em. Stuck. De peperi cfr. Lassen I, 278 sq. et de malabathro (folio lauri cassiae) eund. p. 283 sq. — 78) Codex στίμη et mox τέλος ἀργή pro ὕαλος ἀργ., ut Stuckius emend. — De cassitero vid. Lassen I, 239. — 79) Ab urbe Cottonara, hod. Cochin, dictum; cfr. Ritt. V, 515 et Kuelb. I, 248; Forbig. II, 504. — 80) γαπανική cod.; jam Vincent. I, Appendic. p. 38 emend. — Loca autem τὰ ἔσω infra p. 36 H. accuratius indicantur. De adamante cfr. Lassen I, 241 et Ritt. VI, 344. — 81) χρυσονητιωτικὴ καὶ ἡ cod., emend. Stuck. —

εἰς αὐτὴν οἱ κατὰ καιρὸν ἀναγόμενοι ἀπ' Αἰγύπτου περὶ τὸν Ἰούλιον μῆνα, ὅς ἐστιν Ἐπιφί.

Τοῦτον δὲ ὅλον τὸν εἰρημένον περίπλουν ἀπὸ Κανῆς καὶ Εὐδαίμονος Ἀραβίας οἱ μὲν [82]) *μικροτέροις πλοίοις περικολπίζοντες ἔπλεον, πρῶτος δὲ Ἵππαλος κυβερνήτης, κατανοήσας τὴν θέσιν τῶν ἐμπορίων καὶ τὸ σχῆμα τῆς θαλάσσης, τὸν διὰ πελάγους ἐξεῦρε πλοῦν, ἀφ' οὗ καί, τοπικῶς ἐκ τοῦ ὠκεανοῦ φυσώντων ἀνέμων* [83]) *κατὰ καιρὸν τῶν παρ' ἡμῖν ἐτησίων, ἐν τῷ Ἰνδικῷ πελάγει λιβόνοτος φαίνεται προσονομάζεσθαι, ἀπὸ τῆς προσηγορίας τοῦ πρώτως ἐξευρηκότος τὸν διάπλουν. Ἀφ' οὗ μέχρι καὶ νῦν τινὲς μὲν εὐθὺς ἀπὸ || Κανῆς τινὲς δὲ ἀπὸ τῶν* ||33 H. *Ἀρωμάτων ἀφιέντες οἱ μὲν εἰς Λιμυρικὴν πλέοντες ἐπὶ πλεῖον τραχηλίζοντες οἱ δὲ εἰς Βαρύγαζα οἱ δὲ εἰς Σκυθίαν οὐ πλεῖον ἢ τρεῖς ἡμέρας ἀντέχουσι καὶ τὸ λοιπὸν παρεπιφέρον* [84]) *πρὸς ἴδιον δρόμον ἐκ τῆς χώρας ὑψηλοὶ διὰ τῆς ἔξωθεν γῆς παραπλέουσι τοὺς προειρημένους κόλπους.*

Ἀπὸ τῆς Βαράκης [85]) *τὸ λεγόμενον Πυῤῥὸν ὄρος καὶ ἄλλη παρήκει χώρα ἡ Παραλία λεγομένη πρὸς αὐτὸν τὸν νότον, ἐν ᾗ καὶ κολύμβησίς ἐστιν ὑπὸ τὸν βασιλέα Πανδίονα πινικοῦ καὶ πόλις ἡ λεγομένη Κόλχοι* [86]). *Πρῶτος τόπος Βαλίτα καλούμενος ὅρμον καλὸν ἔχει καὶ κώμην παραθαλάσσιον. Ἀπὸ δὲ ταύτης ἐστὶν ἕτερος τόπος τὸ Κομὰρ λεγόμενον, ἐν ᾧ τόπῳ ἱερόν* [87]) *ἐστι καὶ λιμήν, εἰς ὃν οἱ βουλόμενοι τὸν μέλλοντα αὐτοῖς χρόνον ἱεροὶ*

---

82) Fortasse praetermissum *παλαιοί*. — 83) *ἐξεῦρε πλοῦν. ἀφ' οὗ κ. τ. ἐ. τ. ὠ. φυσ. τῶν* (*ἀνέμων* emend. Phil. Wagner, conrector gymnas. Dresdensis) *κατὰ καιρ. τ. π. ἡμ. ἐτεσ., ἐν τῷ Ἰν. π. λιβ. φαίνεται. προσονομάζεται ἀπὸ τῆς πρ.* cod. — *φαίνεται προσονομάζεσθαι* emend. Salmas. — De Hippalo vento cfr. Plin. H. N. VI, 23, 26 § 100 et 104. Est: Suedwestmonsun; cfr. Ukerti geogr. antiq. 1, 1 p. 125; I, 2, p. 179; Ritt. V, 483 et XII, 246; Salmas. Exercit. Plin. p, 834. — 84) Stuckius: „reliquum temporis in proprio cursu conficiendo consumunt et ex regione excelsi per terram externam supradictos sinus praetervehuntur.“ (?) — 85) *ἀπ' ἐλαβαρικὴ τό* cod. Idem paullo ante *Κανή* et in proximis *ὄρος ἄλλη παρῆκε χώρα τη κης ἡ παραδία*. — 86) Cfr. Forbig. II, 503; Ritt. V, 516; Lassen I, 159 (hod. Tutikorin). Mox cod. *ἔχων* pro *ἔχει*. — 87) *βριάριον* cod.; Stuckius *φρούριον*. Nostram emendat. Schwanebecki et Lassenis (l. l. Appendic. p. LIV) auctoritas firmat. De Comar sive Comara cfr. Ptolem. 7, 1, 9 (*Κομαρία*); Kuelb. I, 249; Bohlenis Ind. antiq. I, 26; Lassen l. l. p. 158; Forbig. II, 503. —

γενέσθαι[88]) *ἐρχόμενοι ἀπολούονται καὶ χῆροι μένουσιν αὐτοῦ. Τὸ δὲ αὐτὸ καὶ γυναῖκες· ἱστορεῖται γὰρ τὴν θεὸν Ἐκεῖ*[89]) *ἐπὶ μῆνας κατά τινα χρόνον ἐκεῖ ἀπολελοῦσθαι. Ἀπὸ δὲ τοῦ Κομάρος πρὸς τὸν νότον*[90]) *ἐκτείνουσα χώρα μέχρι Κόλχων, ἐν ᾗ κολύμβησις τοῦ πινικοῦ ἐστὶν — ἀπὸ δὲ κατακρισίμων κατεργάζεται —,*
|| 34 H. *ὑπὸ τὸν βασιλέα Πανδίονά* || *ἐστιν. Μετὰ δὲ Κόλχους ἐκδέχεται πρότερος αἰγιαλὸς ἐν κόλπῳ κείμενος, ἔχων χώραν μεσόγειον*[91]), *λεγόμενος Ἀργάλου· ἐν ᾧ τόπῳ ἐριονεῖται τὸ παρὰ νῆσον*[92]) *Ἠπιοδώρου συλλεγόμενον πινικόν. Φέρονται γὰρ ἐξ αὐτῆς σινδόνες αἱ μαργαριτίδες*[93]) *λεγόμεναι.*

Τῶν δὲ καὶ τούτων ἐμπορίων τε καὶ ὅρμων, εἰς οὓς οἵ τε ἀπὸ τῆς Λιμυρικῆς καὶ ἀπ' ἄρκτου πλέοντες κατάγονται, ἐπισημότερα καὶ κατὰ τὸ ἑξῆς κείμενά ἐστιν ἐμπόρια Καμάρα καὶ Ποδούκη[94]) *καὶ Σώπατμα, ἐν οἷς τοπικὰ μέν ἐστι πλοῖα μέχρι Λιμυρικῆς, παραλεγόμενα τὴν γῆν, ἕτερα δ' ἐκ μονοξύλων πλοίων μεγίστων ὑφαῖς*[95]) *ἐζευγμένων, λεγόμενα σάγγαρα· τὰ δὲ εἰς τὴν Χρυσῆν καὶ εἰς τὸν Γάγγην διαίροντα κολανδιόφωντα τὰ μέγιστα. Προχωρεῖ δὲ εἰς τούτους τοὺς τόπους πάντα τὰ εἰς τὴν Λιμυρικὴν ἐργαζόμενα, καὶ σχεδὸν εἰς αὐτοὺς καταντᾷ τὸ δὲ*

---

88) *γενέσθαι χῆροι μέν. αὐτοῦ, ἐκεῖ ἐρχομ. ἀπολού.* cod. et editt. — 89) Nomen *Ἐκεῖ* (in cod. et editt. *ἐκεῖ*, i. e. ibi, scriptum est), Deae tributum, haud dubie a librario depravatum est; intelligitur autem Kumari, Siwae conjux (auctore Lassene I, 158), vel Kali (judice Bohlene I, 27). — 90) Verba *πρὸς τὸν νότ.* in cod. et editt. infra post *κατεργάζ.* leguntur; praeterea cod. *Κομαρεὶ* h. l. habet. De re ipsa praeter Plin. H. N. IX, 35, 54 et Ptolem. VII, 1, 10 vid. Lassen I, 244. — 91) *πρότερος* et *ἔχων χ. μεσ.* vitio laborare mihi videntur. Mox cod. habet *λεγόμενον*. Argali littus, Ptolemaei sinus Argalicus, incipit a promont. hod. Ramanakor; cfr. Lassen I, 159; Ritt. V, 516. — 92) *ἐν ἐνὶ τόπ. τερονεῖται παρ' αὐτὴν τῆς ἠπιοδώρου* cod.; Salm. in Exercit. Plin. p. 791 voluit *ἐν ἑνὶ τόπῳ* (in qua, uno tantum in loco) *περονεῖται* (perforatur margaritum, *πινικόν*) *παρ' ἀκτὴν τῆς Ἠπ.*, sed rectius idem ad Tertull. de pall. p. 218 *ἐριονεῖται*, h. e. in modum lanae netur. Cfr. etiam Lassen I, 159. — 93) *σινδόνες ἐβαργαρείτιδες* cod., Salmas. emend.; sed idem ad Tertull. de palli. p. 218 malit: *Ἀβεργερείτιδες*. — 94) *ποδούκη* cod. Hod. Pondichery auct. Ritt. V, 517, et Bohlen. I, 26 sq., qui *Σουπάτνα* scribit. — 95) *ἀφ' ἧς* cod.; *ὑφαῖς* est: rudentibus invicem junctorum navigiorum. Sangara (*σάνγαρα* cod.) auctoribus Bohl. (II, 133) et Kuelb. (I, 249) sunt nostr. Transportböte et colandiophonta (Indorum Kalada-

χρῆμα τὸ ἀπ' Αἰγύπτου φερόμενον τῷ παντὶ χρόνῳ καὶ[96]) πλεῖστα γένη πάντων τῶν ἀπὸ Λιμυρικῆς φερομένων καὶ διὰ ταύτης τῆς παραλίας ἐπιχορηγουμένων.

Περὶ δὲ τῶν[97]) μετ' αὐτὴν χωρῶν, ἤδη πρὸς || ἀνατολὴν || 35 H. τοῦ πλοὸς ἀπονεύοντος, εἰς πέλαγος ἔκκειται πρὸς αὐτὴν τὴν δύσιν νῆσος λεγομένη Παλαισιμούνδου[98]), παρὰ δὲ τοῖς ἀρχαίοις αὐτῶν Ταπροβάνη. Ταύτης τὰ μὲν πρὸς βορέαν ἐστὶν ἥμερα καὶ διαπλεῖται τοῖς ἱστιοπεποιημένοις ναυσὶ[99]) καὶ σχεδὸν εἰς τὸ κατ' αὐτῆς ἀντιπαρακείμενον Ἀζανίας παρήκει. Γίνεται δὲ ἐν αὐτῇ πινικὸν καὶ λιθία διαφανὴς[100]) καὶ σινδόνες καὶ χελῶναι. Περὶ δὲ τούτους τοὺς τόπους πολὺ τῆς μεσογείου παρήκουσα Μαισωλία[1]) παράκειται χώρα· γίνονται ἐν αὐτῇ σινδόνες πλεῖσται. Ἀπὸ δὲ ταύτης εἰς αὐτὴν τὴν ἀνατολὴν διαπεράσαντι τὸν παρακείμενον κόλπον ἡ Δησαρηνὴ χώρα, φέρουσα ἐλέφαντα, τὸν λεγόμενον βωσαρῆ, καὶ μετ' αὐτήν, εἰς τὸν βορέαν ἤδη ἀπονεύοντος τοῦ πλοός, βάρβαρα πολλὰ ἔθνη, ἐν οἷς οἱ Κιῤῥάδαι[2]), γένος ἀνθρώπων ἐντεθλιμμένων τὴν ῥῖνα, ἀγρίων, καὶ Βαργύσων ἕτερον ἔθνος καὶ τὸ τῶν ἱππιοπροσώπων, μακροπροσώπων, λεγόμενον ἀνθρωποφάγων εἶναι.

Μετὰ δὲ ταῦτα, εἰς τὴν ἀνατολὴν πλεόντων καὶ ὠκεανὸν ἐν δεξιοῖς ἐχόντων, εὐώνυμα δὲ τὰ λοιπὰ μέρη ἔξωθεν παραπλεόντων, ὁ Γάγγης ἀπαντᾷ καὶ ἡ περὶ αὐτὴν ἐσχάτη τῆς ἀνατολῆς || ἤπειρος, || 36 H. ἡ Χρυσῆ. Ποταμός δέ ἐστι περὶ αὐτὴν ὁ Γάγγης λεγόμενος, καὶ αὐτὸς μέγιστος τῶν κατὰ τὴν Ἰνδικήν, ἀπόβασίν τε καὶ

---

vantas) sunt nostr. Schnellsegler. Mox cod. εἰς τοὺς τόπ. — 96) κατα πλεῖστα et in prox. φερομένων διὰ ταύτ. cod. — 97) Stuck. malit: μετὰ δὲ τὰς μετ' αὐτὴν χώρας. — 98) πάλαι σιμούνδου cod., quod retinebis, si πάλαι explicaveris: jam dudum. De hac insula (hod. Ceylon) cfr. Ritt. V, 516 sq. et VI, 14 sqq.; Bohlen I, 29 sq.; Lassen I, 201 not. — 99) καὶ διαπλ. τοῖς εἰς τὸν πλιοναχιστινει & καὶ σχεδ., emend. Salmas. p. 781 Exercit. Plin.; Vossius ad Melam p. 279 voluit: καὶ διαπλ. τοῖς εἰς τὸ πλεῖον εἰκοστινῇ (i. q. εἰκοσταίῃ), i. e. trajectus enim e proximo continentis portu in insulam viginti ad summum fiebat diebus Indicis navigiis, Romanis vero et Graecis navibus fere septem diebus. — 100) Cfr. Ptol. 7, 4, 1 et Lassen I, 242 et de pinico Salmas. in Exercit. Plin. p. 784. — 1) μασαλία cod. Est regio ad Godaverum fluvium: cfr. Lassen I, 168 sq.; Ritt. V, 518 et Forbig. II, 502. De Desarene, terra Orissae vicina, cfr. Lassen I, 196 et 311; V, 519. — 2) Cfr. Lassen I, 185;

ἀνάβασιν τὴν αὐτὴν ἔχων τῷ Νείλῳ, καθ' ὃν καὶ ἐμπόριόν ἐστιν ὁμώνυμον τῷ ποταμῷ, ὁ Γάγγης, δι' οὗ φέρεται τό τε μαλάβαθρον καὶ ἡ Γαγγιτικὴ νάρδος καὶ πινικὸν καὶ σίνδονες αἱ διαφορώταται, αἱ Γαγγιτικαὶ λεγόμεναι. Λέγεται δὲ καὶ χρυσωρύχια περὶ τούτους τοὺς τόπους εἶναι, νόμισμά τε χρυσοῦ, ὁ λεγόμενος κάλτις [3]). *Κατ' αὐτὸν δὲ τὸν ποταμὸν νῆσός ἐστιν ὠκεάνιος, ἐσχάτη τῶν πρὸς ἀνατολὴν μερῶν τῆς οἰκουμένης, ὑπ' αὐτὸν ἀνέχοντα τὸν ἥλιον, καλουμένη Χρυσῆ* [4]), *χελώνην ἔχουσα πάντων τῶν κατὰ τὴν Ἐρυθρὰν τόπων ἀρίστην.*

Μετὰ δὲ ταύτην τὴν χώραν ὑπ' αὐτὸν ἤδη τὸν βορέαν, ἔξωθεν εἰς Σινῶν [5]) *τινὰ τόπον ἀποληγούσης τῆς θαλάσσης, παράκειται ἐν αὐτῇ πόλις μεσόγειος μεγίστη, λεγομένη Θῖνα, ἀφ' ἧς τό τε ἔριον καὶ τὸ ὀθόνιον τὸ Σηρικὸν εἰς τὰ Βαρύγαζα διὰ Βάκτρων πεζῇ φέρεται καὶ εἰς τὴν Λιμυρικὴν πάλιν διὰ τοῦ Γάγγου ποταμοῦ. Εἰς δὲ τὴν Θῖναν ταύτην οὐκ ἔστιν εὐχερῶς ἀπελθεῖν· σπανίως γὰρ ἀπ' αὐτῆς τινὲς οὐ πολλοὶ ἔρχονται. Κεῖται*
|| 37 H. *δὲ ὁ τόπος ἐπ' αὐτὴν τὴν μικρὰν ἄρκτον, λέγεται δὲ* || *συνορίζειν τοῖς ἀπεστραμμένοις μέρεσι τοῦ Πόντου καὶ τῆς Κασπίας θαλάσσης, καθ' ἣν ἡ παρακειμένη λίμνη Μαιῶτις, εἰς τὸν ὠκεανὸν συναναστομοῦσα.*

Κατ' ἔτος δὲ παραγίνεται ἐπὶ τὴν συνορίαν τῆς Θίνας [6]) *ἔθνος τι, τῷ μὲν σώματι κολοβοὶ καὶ σφόδρα πλατυπρόσωποι, σιμοὶ εἰς τέλος* [7])· *αὐτοὺς δὲ λέγεσθαι Βησείδας, παρομοίους ἀνημέροις. Παραγίνονται σὺν γυναιξὶ* [8]) *καὶ τέκνοις, βαστάζοντες φορτία μεγάλα ἐν ταρπόναις ὠμαμπελίνων παραπλήσια, εἶτ' ἐνεπιμένουσιν ἐπί τινα τόπον τῆς συνορίας αὐτῶν καὶ τῶν ὑπὸ*

391; 448. Mox post *ἀνατολήν* addidi *πλεόντων* et in sequentibus *τούτους* post voc. *χρυσωρύχια περί*. — 3) Cfr. Bohl. II, 121. — 4) *ἥλιον κλειομένη. χρυσῆν χελώνην ἔχ.* cod., emend. Salmas. — 5) Arriani Sinae sunt incolae regni S i a m, auct. Kuelb. I, 251. In proximis cod. *τὴν Βαρύγαζαν* et *Θῖνα ταύτην* habet. — 6) *θινός* cod., emend. Salmas. l. l. p. 754 sq. De hac gente praeter Ptolem. 7, 2, 15 cfr. Kuelb. I, 251; Bohlen II, 46 et 173; Forbig. II, 475; Ritt. II, 179 et V, 443; Lassen I, 550 coll. 448 et 284 (habitabant in regno A s s a m). — 7) *σφόδροι πλατυπρ. ἐν μοί* (*σιμοί* emend. Stuck.) *τέλος τε αὐτοὺς λέγεσθαι Σησάτας* (*Βησ.* emend. Lassen l. l.). *παρομοιοῦσιν ἡμέραις* cod., emend. Salmas. Aliter Vossius ad Mel. p. 279. — 8) *μεγάλα τέρπονας* cod., emend. Salm.; *ταρπόνας*

τῆς Θίνας [9]) καὶ ἑορτάζουσιν ἐπί τινας ἡμέρας, ὑποστρώσαντες ἑαυτοῖς τὰς ταρπόνας, καὶ ἀπαίρουσιν εἰς τὰ ἴδια, εἰς τοὺς ἐσωτέρους τόπους. Οἱ δὲ καραδοκοῦντες [10]) τότε παραγίνονται ἐπὶ τούτους τοὺς τόπους καὶ συλλέγουσι τὰ ἐκείνων ὑποστρώματα καὶ ἐξινιάσαντες καλάμους τοὺς λεγομένους πέτρους ἐπὶ λεπτὸν ἐπιδιπλώσαντες τὰ φῦλλα καὶ σφαιροειδῆ ποιοῦντες διαίρουσι [11]) ταῖς ἀπὸ τῶν καλάμων ἴναις. Γίνεται δὲ γένη τρία· ἐκ μὲν τοῦ μείζονος φύλλου τὸ ἁδρόσφαιρον || μαλάβαθρον λεγόμενον, ἐκ δὲ || 38 H. τοῦ ὑποδεεστέρου τὸ μεσόσφαιρον, ἐκ δὲ τοῦ μικροτέρου τὸ μικρόσφαιρον. Ἔνθεν τὰ τρία μέρη τοῦ μαλαβάθρου γίνεται καί τοτε φέρεται εἰς τὴν Ἰνδικὴν ὑπὸ τῶν κατεργαζομένων αὐτά. Τὰ δὲ μετὰ τούτους [12]) τοὺς τόπους διά τε ὑπερβολὰς χειμώνων καὶ πάγους μεγίστους δυςβάτων τε τόπων εἴτε καὶ θείᾳ τινὶ δυνάμει θεῶν ἀνερεύνητά ἐστιν.

---

dixit quae aliis τάρκαι, sirpeae, et ὠμαμπελ. sunt folia vitium adhuc viridia. — 9) θινὸς καὶ ἁρπάζουσιν — τὰς τέρπονας cod.; emend. Salm. — 10) ταῦτα δοκοῦντες cod., em. Salmas. Mox cod. ἐπὶ τοὺς τόπ. — 11) διαίρουσι cod., em. Salmas., qui explicat: „Ubi folia illa in pilulam voluta complicarunt, fibris calamorum trajiciunt (διείρουσι), ut sic in pilula haereant. Καλάμους vocat virgas ipsas ac surculos, quibus haerebant folia. Atqui ex ipsis foliis fibras illas sive nervos desciant (hoc illi vocant ἐξινιάζειν i. e. ἶνας extrahere).“ — 12) τούτους praetermisit codex.

Typis B. G. Teubneri.


1837
ARTES
SCIENTIA
VERITAS